1
C
20

6
14 e
21

BIBLIOTECA NAZIONALE VITTORIO EMANUELE
6
17 B
49

Ex Bibliotheca
Maiori Coll. Rom.
Societ. Jesu

post 27. e

14
C
20

14-C-16

6-14.e.21

S. GREGORII NAZIANZENI

Carmina ſelecta.

CYRILLI ALEXANDRINI de plantarum & animalium proprietate liber nunc primum in lucem editus.

SYNESII HYMNI DECEM.

CLEMENTIS ALEXANDRINI Hymnus.

Coll. Ro: Soc. Jesu catal. inscrip.

BIBLIOTECA NAZ. VITTORIO EMANUELE ROMA

ROMAE,

Apud Franciſcum Zannettum. M. D. XC.

Superiorum Permiſſu.

ΣΚΙΠΙΩΝΟΣ ΤΟΥ ΚΑΡΤΕΡΟ-
μάχου εἰς τὸν ἅγιον Γρηγόριον.

Γρηγόριος μούσας πολλῷ πλέον ἤπερ Ὅμηρος
Θειοτάτων ἐπέων δεῖξεν ὑπηρέτιδας·
Ἢ μᾶλλον τό γε πᾶν μουσῶν ὑπὸ λέξεν Ὅμηρος,
Γρηγορίῳ δ᾽ ἔπνει πνεῦμ᾽ ἄρα θειότερον.

HIERONYMVS BRVNELLVS

è Societate Ieſu.

Græcarum litterarum ſtudioſis adoleſcentibus. S. P. D.

ANtequam ex veteribus prophaniſq́ue Græcis poetis ea ſeligeremus, quæ ad noſtra Gymnaſia viderētur aptiſſima; pauca quædam è Gregorij Nazianzeni carminibus duximus eſſe colligenda: qui cum ab eximia rerum diuinarum ſcientia Theologi nomen inuenit, tum ita poeticæ laude floruit, vt merito illum πάντων τῶν ποιητῶν ἐμμετρικώτατον ſua tempora praedicarint. & quoniam is data opera traditur ſe ad ſcribendos verſus contuliſſe; vt haberent Chriſtiani adoleſcentes poemata quae decantarent: quibus impius ille transfuga Iulianus ethnicorum poetarum, reliquorumq́ue ſcriptorum lectione interdixerat,

quo facilius videlicet Chriſtianam rempublicā ſenſim externarum diſciplinarum ſcientia ſpoliaret: non alienum putauimus à veſtris commodis ac ſtudijs adoleſcentes optimi, ſi ea vobis primum carmina proponerentur, quæ eſſent & poeticis ornamentis & vero ſententijs pudicis grauibusque diſtincta; vt ex ijs non magno negotio diſceretis, quemadmodum vobis deinde ſint prophani poetae legendi & imitandi. His adiecimus poema Iambicum de plantarum & animalium proprietatibus, quod à D. Conſaluo Ponce de Leon viro nō minus eruditione atque humanitate quam generis nobilitate præſtanti munus acceperam, ipſe vero olim ex Gulielmi Sirleti Cardinalis exemplo deſcribendum curauerat. Adſcribitur quidem, vt videtis, Cyrillo Alexandrino, qui fuit olim & adhuc eſt ob ingenij doctrinæque monumenta præclara, non modo Graeciae totius, verum etiam Eccleſiæ vniuerſæ orthodoxæ lumen. neque meum ego de huius opuſculi autore iudicium interpono; ſed certe cuiuſcunque ſit; à veteribus grauiſſimiſque patribus, aut verborum lepore & elegantia, aut rerum copia & varietate, aut, quod caput eſt, pia religioſaque doctrina, nulla ex parte videtur abhorrere. Ita enim praeſtantis illius diuinaeque naturae maieſtatem infinitam, ſingularem in omnes mortales beneficentiam, admirabilem ſapientiam, potiſſimum quae in rebus creatis elucet, incredibi-

lem in rebus omnibus maximis, minimis tuendis, regendiſque prouidentiam, paternamque procurationem oſtendit; vt legentium animos ad veri Dei cognitionem traducere, atque ad eius amorem inflammare facile poſſit. Ita porro ſingulas plantarum vires, & animantium facultates eleganti concinnoque verſu perſequitur; vt non modo Theophraſti libros & Ariſtotelis, verum etiam Dionyſij quoque Areopagitae ac reliquorum patrum ſcripta de Dei auguſtiſſima natura Chriſtique liberatoris noſtri myſterijs in pauca quodam modo conferat ac ſub vno prope ponat aſpectu. Iam vero etſi multa menda quae, vt fit, librariorum vitio in hoc carmen irrepſerant, ſublata ſunt; pauca tamen quæ adiuuari coniectura non potuerunt, (cum præſertim vno tantum exemplo vti cogeremur) vel aliorum iam acriore iudicio corrigentur, vel certe tanquam næuus in formoſo corpore, facile totius operis pulchritudine, ac ſplendore, vt opinor, obruentur. Poſtremo additi ſunt hymni decem elegantiſſimi patris doctiſſimiq; Syneſij Cyrenæi qui Theodoſio iuniore Imperatore Ptolemaidi Epiſcopus præfuit, quē Nicephorus Calliſtus ob acumen ingenij, Philoſophiæ ſcientiam, eloquentiæ præſtantiam toto terrarū orbe celeberrimū fuiſſe teſtatur. Et quamquam quod raro & in pauciſſimis cernitur tum ſoluta tum vincta numeris oratione ita inter omnes excelluit, vix vt in vtra ſit facultate præſtantior Lib. 14.

diiudi-

diiudicare quis poſſit; eius tamen hymni ita ſcite compoſiti ſunt, ita verborum floſculis ornati, ſententiarum dignitate graues, numerorum ſuauitate conditi; vt vel Orpheo ipſi Pindarove non cedant; ita demum pietatis ardore flagrantes, vt cum quolibet è ſanctiſſimis patribus conferri poſſe videantur. Genus autem carminis quale ſit, etſi antea Gulielmus Canterus oſtendit, qui eos latinis verſibus eleganter expreſſit: operae tamen pretium erit hic paucis indicare. Primus enim hymnus, alter, & vltimus Anapæſticis monometris conſtant, tametſi non raro tempora vel ſyllabae tantum in his annumerantur. Tertius Anapæſtica dimetra continet catalectica. Quartus Ionium à minore primum verſum habet, reliquos temporibus fere vel certe ſyllabis reſpondentes. In reliquis quinque, Ionicis à minore dimetris eadem ratione vſus eſt, interiectis interdū Anacreōtijs.

Ad extremum Clementis Alexandrini hymnus ſatis inſignis quòd erat eiuſdem generis & carminis & in impreſſis codicibus circumferebatur, additus eſt. Noſtrum hunc igitur qualemcunque laborem ingenui adoleſcentes, vt ſoletis, boni conſulite, veſtramque operam ſtudioſe, vt facitis, ad Græcæ linguæ diuitias conferte cum Chriſtianæ pietatis opibus coniungendas. Valete.

ΤΟΥ ΑΓΙΟΥ
ΓΡΗΓΟΡΙΟΥ
ΤΟΥ ΝΑΖΙΑΝΖΗΝΟΥ
ὕμνος εἰς Θεόν.

Ὦ πάντων ἐπέκεινα· τί γὰρ θέμις ἄλλο
σὲ μέλπειν;
πῶς λόγος ὑμνήσει σέ; σὺ γὰρ λό-
γῳ οὐδενὶ ῥητός.
πῶς νόος ἀθρήσει σέ; σὺ γὰρ νόῳ οὐ-
δενὶ ληπτός.
μοῦνος ἐὼν ἄφραστος· ἐπεὶ τέκες ὅσα λαλεῖται,
μοῦνος ἐὼν ἄγνωστος· ἐπεὶ τέκες ὅσα νοεῖται.
πάντα σὲ καὶ λαλέοντα καὶ οὐ λαλέοντα λιγαί-
νει:
πάντα σὲ καὶ νοέοντα καὶ οὐ νοέοντα γεραίρει.
ξυνοὶ γάρ τε πόθοι, ξυναὶ δ' ὠδῖνες ἁπάντων
ἀμφὶ σέ· σοὶ δὲ τὰ πάντα προσεύχεται· εἰς σὲ δὲ
πάντα
σύνθεμα σὸν νοέοντα λαλεῖ σιγώμενον ὕμνον.
σοὶ ἑνὶ πάντα μένει· σοὶ δ' ἀθρόα πάντα θοάζει.
καὶ πάντων τέλος ἐσσί, καὶ εἷς, καὶ πάντα, καὶ οὐ-
δέν.

οὐχ

οὐχ ἓν ἐὼν, οὐ πάντα. πανώνυμε πῶς σὲ καλέσω,
τὸν μόνον ἀκλήϊστον; ὑπερνεφέας δὲ καλύπτρας
τίς νόος οὐρανίδης εἰσδύσεται; ἵλαος εἴης
ὦ πάντων ἐπέκεινα· τί γὰρ θέμις ἄλλο σε μέλπειν;

ΤΟΥ ΑΓΙΟΥ ΓΡΗΟΡΙΟΥ
ΤΟΥ ΘΕΟΛΟΓΟΥ.

Περὶ τῆς ἀνθρωπίνης φύσεως.

Χθιζὸς ἐμοῖς ἀχέεσσι τετρυμμένος, οἶος ἀπ' ἄλλων
Ἥμην ἐν σκιεροῖς ἄλσεϊ θυμὸν ἔδων.
Καὶ γάρ πως φιλέω τόδε φάρμακον ἐν παθέεσσιν,
Αὐτὸς ἑῷ θυμῷ προσλαλέειν ἀκέων,
Αὖραι δ' ἐψιθύριζον ἅμ' ὀρνίθεσσιν ἀοιδοῖς,
Καλὸν ἀπ' ἀκρεμόνων κῶμα χαριζόμεναι,
Καὶ μάλαπερ θυμῷ κεκαφηότι. οἱ δ' ἀπὸ δένδρων
Στηθομελεῖς, λιγυροί, ἠελίοιο φίλοι
Τέττιγες λαλαγεῦντες, ὅλον κατεφώνεον ἄλσος.
Πὰρ δ' ὕδωρ ψυχρὸν ἐγγὺς ἔκλυζε πόδας
Ἦκα ῥέον δροσεροῖο δι' ἄλσεος. αὐτὰρ ἔγω γε
Τῶς ἐχόμην κρατεροῖς ἄλγεος, ὡς ἐχόμην.
Τῶν μὲν ἄρ' οὐκ ἀλέγιζον, ἐπεὶ νόος οὔ τε πυκασθῇ
Ἄλγεσιν, οὐκ ἐθέλει τέρψιος ἀντιάειν.
Αὐτὸς δὲ στροφάλιγξιν ἑλισσομένοιο νόοιο,
Τοίην ἀντιπάλων δῆριν ἔχων ἐπέων,

Τίς γενόμην, τίς δ' εἰμὶ, τί δ' ἔσσομαι, οὐ σάφα οἶδα.
Οὐ δὲ μὲν ὅστις ἐμεῦ πλειότερος σοφίῃ.
Ἀλλ' αὔτως νεφέλῃ κεκαλυμμένος ἔνθα, καὶ ἔνθα,
Πλάζομαι οὐδὲν ἔχων, οὐδ' ὄναρ ὧν ποθέω.
Πάντες γὰρ χθαμαλοὶ καὶ ἀλήμονες, οἷσι παχείης
Σαρκὸς ἐπικρέμαται κυανέη νεφέλη.
Κεῖνος δ' ἐστὶν ἐμεῖο σοφώτερος, ὃς πλέον ἄλλων
Ἤπαφεν ἧς κραδίης ψεῦδος ἐπιμολόγον.
Εἰμί. φράζε τί τοῦτο; τὸ μὲν, παρέθρεξεν ἐμεῖο,
Ἄλλο δὲ νῦν τελέθω, ὃς δ' ἔσσομ' εἴ γ' ἔσομαι.
Ἔμπεδον οὐδέν, ἐγὼ γε ῥόος θολεροῦ ποταμοῖο
Αἰὲν ἐπερχόμενος, ἑστὼς οὐδὲν ἔχων.
Τί πῆ με τοῦτ' ἐρέεις; τί δέ σοι πλέον εἰμὶ, δίδαξον,
Καὶ νῦν τῆδε μένων, δέρκεο μή σε φύγω.
Οὔτε δὶς ὃν τὸ πάροιθε ῥόον ποταμοῖο περήσεις
Ἔμπαλιν, οὔτε βροτὸν ὄψεαι, ὃν τὸ πάρος.
Ἦν πάρος ἐν χερσὶ πατρὸς, ἔπειτά μ' ἐδέξατο μήτηρ,
Ξυνὸν δ' ἀμφοτέρων. ἔνθεν ἔπειτα κρέας
Ἄκριτον, ἄβροτον, αἶσχος ἀειείδεον, οὔτε λόγοιο
Οὔτε νόου μετέχον, μητέρα τύμβον ἔχον.
Δισλαφέες ζώοντες ἐπὶ φθορᾷ. τὴν γὰρ ὁδεύω
Ζωήν, τὴν δ' ὁρόω τὴν ἐτέων δαπάνην,
Ἥ μοι γῆρας ἔχευεν ὀλοίιον. εἰ δέ με κεῖθι
Αἰὼν οὐ φθινύθων δέξεται, οἷα φάτις,
Φράζεο μὴ ζωὴ μὲν ἔχῃ μόρον, ἡ δὲ τελευτὴ,
Ζωὴ σοί γε πέλῃ ἔμπαλιν, ἢ δοκέεις.

Οὐ-

Οὐδὲν ἔφυν. τί κακοῖσι δαμάζομαι, ὥς τι πεπη-
Τοῦτο γὰρ ἡμερίων ἄτρεπτον ἐστὶ μόνον, (γός;
Συμφυὲς, ἀσυφήλικτον, ἀγήραον. ἐξότε κόλπων
Μητρὸς ὀλισθήσας πρῶτον ἀφῆκα δάκρυ·
Ὅσσα τίοις, οἷσίς τε συναντήσασθαι ἔμελλον
Πήμασι, δακρυχέων πρὶν βιότοιο θίγω.
Χώρην μὲν τιν' ἄθηρον ἀκούομεν, ὥς ποτε Κρήτην,
Καί τινα καὶ κρυερῶν ἀλλοτρίην νιφάδων·
Θνητῶν δ' οὔποτέ τις τὶ δ' ἐπηύξατο, ὡς ἀδάμαστος
Τοῦδε βίου συγερῶν ἔνθεν ἀπῆλθε μόγων.
Ἀδρανίη, πενίη τε, τόκος, μόρος, ἔχθος, ἀλιτροὶ,
Θῆρες ἁλὸς, γαίης, ἄλγεα, πάντα βίος.
Πήματα μὲν, καὶ πάμπαν ἀτερπέα πόλλ' ἐνόησα·
Τῶν δ' ἀγαθῶν, οὐδὲν πάμπαν ἄμοιρον ἄχους,
Ἐξότε τοῦ, ὅτε μοι πικρὴν ἐπομόρξατο ποινὴν,
Γεῦσίς τ' οὐλομένη, καὶ φθόνος ἀντιπάλου.
Σοὶ μὲν δὴ σὰρξ τοῖα δυσαλθέϊ συμμενέοντι
Ἐχθρῷ, καὶ πολέμῳ οὔποτε λυομένῳ
Θηρὶ ψυχρῷ, καὶ σαίνοντι, πυρὶ ψύχοντι τὸ θαῦμα.
Θαῦμα μέγ', εἴποτ' ἐμοί γ' ὕστατον συμμενέεις.
Ψυχὴ, σοὶ δ' ἄρ' ἔπειτα λήξεται ὅσσ' ἐπίοικε,
Τίς; πόθεν; ἢ τί πέλεις; τί δέ σε νεκροφόρον
Θήκατο, καὶ συγερῇσι πέδαις ἐνέδησε βίοιο;
Ἐς χθόνα βριθομένην πάντοθε πῶς ἐμίγης;
Πνεῦμα πάχει, σαρξὶν δὲ νόος, καὶ ἄχθεϊ κούφη·
Ταῦτα γὰρ ἀλλήλοις μάρναται ἀντιθέτως.

Εἰ μὲν δὴ σάρκεσσιν ὁμόσπορος ἐς βίον ἦλθες,
Ὤμοι συζυγίης τηλόθεν ὀλλυμένης.
Εἰκὼν εἰμὶ θεοῖο, καὶ αἴσχεος υἱὸς ἐτύχθην,
Αἰδέομαι τιμῆς μητέρα μαχλοσύνην.
Ῥεῦσις γάρ μ' ἐφύτευσεν, ὁ δ' ἔφθιτο. νῦν βροτὸς, αὖ-
Οὐ βροτὸς, ἀλλὰ κόνις. ἐλπίδες ὑστάτιαι. (θις
Εἰ δὲ σύ γ' οὐρανίη τις, ὅθεν; ποθέοντα δίδαξον.
Εἰ μὲν ἄημα θεοῦ καὶ λάχος ὡς φρονέεις·
Ῥίψον ἀτασθαλίην, καὶ πείθομαι. οὐ γὰρ ἔοικε
Τοῦ καθαροῦ ῥυπαρὴν ἔμμεναι, οὐδ' ὀλίγον.
Οὐδὲ γὰρ ἠελίοιο λάχος σκότος· οὐδὲ πονηροῦ
Πνεύματος αἰγλῆεν ἔκγονον ἐξεφάνη.
Πῶς δ' ὀλοοῦ βελίαο τινάγμασι τόσσον ἐλαύνῃ,
Καίπερ ἐπουρανίῳ πνεύματι κιρναμένη;
Εἰ γὰρ τοῖον ἔχουσα βοηθόον ἐς χθόνα νεύεις,
Αἲ αἲ τῆς ἀκράτου σῆς ὀλοῆς κακίης.
Εἰ δ' οὔ μοι θεόθεν σὺ, τίς ἡ φύσις; ἦ μέγα τάρβος,
Μήποτε μαψιδίῳ κύδεϊ φυσιόω. (τμὴ,
Πλάσμα θεοῦ, παράδεισος, ἐδὲμ, κλέος, ἐλπὶς, ἐφε-
Ὄμβρος ὁ κοσμολέτης, ὄμβρος ὁ πυρσοπόλος.
Αὐτὰρ ἔπειτα νόμος, γραπτὸν ἄκος. αὐτὰρ ἔπειτα
Χριστὸς ἐμὴν μορφὴν ἡμετέρῃ κεράσας·
Ὥς κεν ἐμοῖς παθέεσσιν παθὼν θεὸς ἄλκαρ ὀπά-
Καί με θεὸν τελέσῃ, εἴδεϊ τῷ βροτέῳ. (ζοι,
Ἀλλ' ἔμπης ἀδάμαστον ἔχω μένος, ἐς δὲ σίδηρον
Αὐτοφόνῳ μανίῃ ἀσδύομεν, ὥστε σύες.

Τί-

Τίπτ' ἀγαθὸν βιότοιο; θεοῦ φάος ἀλλ' ἄρα καὶ τό,
Εἴργει με φθονερὴ καὶ στυγερὴ σκοτίη.
Οὐδὲν πλεῖον ἔμοιγε. τί δ' οὐ πλέον ἐστὶ κακοῖσιν;
Αἴθε γὰρ ἶσον ἔχον, καὶ μάλαπερ μογέων.
Κεῖμ' ὀλιγοδρανέων. τάρβος δέ με θεῖον ἔκαμψε.
Τείρομ' ἠματίαις φροντίσι καὶ νυχίαις.
Οὗτος ὁ βεισαύχην με καὶ ὕπτιον ὦσεν ὀπίσσω.
Λὰξ ἐπέβη. σὺ δέ μοι δείματα πάντα λέγει.
Τάρταρον ἠερόεντα, πυριφλεγέθοντας ἱμάσθλας,
Δαίμονας, οἳ ψυχῶν πράκτορες ἡμετέρων.
Μῦθος ἅπαντα κακοῖσι, τὸ δ' ἐν ποσὶ μοῦνον ἄρι-
Οὐδὲν ἐπιστρέφεται τῆς βασάνου κακίη. (στον.
Λώϊον ἦν ἀλιτροῖσιν ἐς ὕστερον ἔμμεν' ἄπτα,
Ἢ ἐμὲ νῦν κακίης πήμασιν ἀσχαλάαν.
Ἀλλὰ τί μοι βροτέων, τί δέ μοι τόσον ἄλγε' ἀείδειν;
Ἡμετέρης γενεῆς πᾶσιν ἔπεστιν ἄχος.
Οὔ μοι χθὼν ἀτίνακτος, ἀλλὰ κλονέουσιν ἀῆται.
Ὧραι δ' ἀλλήλαις εἶξαν ἐπεσσυμέναις.
Νὺξ, ἦμαρ κατέπαυσε, τὸ δ' ἔκλυσεν ἠέρα χεῖμα.
Ἀστράσιν ἥλιος, ἠελίῳ δὲ νέφος
Κάλλος ἀπημάλδυνε· παλίζωος δὲ σελήνη·
Αὐτὰρ ὅγ' ἠμιφανής, οὐρανὸς ἀστερόεις.
Καὶ σύ ποτ' ἀγγελικοῖσιν ἑωσφόρος ἦσθα χορεῖσι
Βάσκανε, νῦν δ' ἔπεσες ὕψος ἀπ' οὐρανίων.
Ἵλαθί μοι βασίλεια κεδνὴ τριὰς, οὐδὲ σὺ πάμπαν
Γλῶσσαν ἐφημερίων ἔκφυγες ἀφραδέων

Πρόσθε πατὴρ, μετέπειτα πάϊς μέγας, αὐτὰρ ἔπειτα
Πνεῦμα θεοῦ μεγάλου βάλλετ' ἐπεσβολίαις.
Ποῖ στήσεις με φέρουσα κακοφραδὲς ἔνθε μέριμνα;
Ιστασο. πάντα θεοῦ δεύτερα. εἶκε λόγῳ.
Οὐδέ με μαψιδίως τεῦξεν θεός. ἔμπαλιν ᾠδῆς
Ιστάμαι ἡμετέρης τοῦτ' ὀλιγοφρενίης.
Νῦν ζόφος, αὐτὰρ ἔπειτα λόγος. καὶ πάντα νοήσεις,
Η θεὸν εἰσορόων, ἢ πυρὶ δαπτόμενος.
Ως μοι ταῦτ' ἐπάεισε φίλος νόος, ἄλγος ἔπαυσεν.
Οψὲ δ' ἀπὸ σκιεροῦ ἄλσεος οἴκαδ' ἔβην,
Αλλοτε μὲν γελόων ἑτερόφρονα, ἄλλοτε δ' αὖτε,
Κῆρ ἀχέει σμύχων μαρναμένοιο νόου.

ΚΑΤΑ ΣΑΡΚΟΣ.

Σὰρξ ὀλοὴ, βελίαο κακόφρονος οἶδμα κελαινὸν,
Σὰρξ ὀλοὴ, παθέων ῥίζα πολυχιδέων,
Σὰρξ ὀλοὴ, κόσμοιο κάτω ῥέοντος ἑταίρη,
Σὰρξ ὀλοὴ, ζωῆς ἀντίπαλ' οὐρανίης,
Σὰρξ ἐχθρὴ, φιλίητε, Γλυκὺς μόθος, ἐσθλὸν ἄπιστον,
Ανδροφόνοιο φυτοῦ πάντοτε γευομένη,
Βόρβορε, ἰλυόεσσα πέδη, βρίθουσα μολυβδὶς,
Θὴρ ἀδάμασθ', ὕλης ἔκγονε μαρναμένης,
Βράσμα κακὸν καὶ σῆμα τεῆς καὶ δεσμὸς ἀνάσσης
Εἰκόνος οὐρανίης, τὴν λάχομεν θεόθεν,
Οὐ λήξεις κακότητος ἀναιδέος, οὐχ ὑποείξεις
Πνεύ-

Πνεύματι καὶ πολιῇ δύσμορε κακοφραδές;
Ἣν Χριστὸς παλάμῃσιν ἑαῖς μορφώσατο μούνην,
　Ἡνίκ' ἄκοσμον ὕλης κόσμον ἔθηκε λόγῳ·
Καὶ πύματον θεότητι κεράσσατο, ὥς κε σαώσῃ
　Πλάσμα φίλον, ζωῆς κληρονόμον μεγάλης,
Τειρόμενον παθέεσσιν ἀμερσινόου βιοίαο·
　Καὶ θανάτῳ θανάτου ῥύσατ' ἀπηλεγέος.
Τοὔνεκεν ἅζεό μοι, καὶ ἴσχεο μαργοπεινάων.
　Μὴ δ' ἔτ' ἐμῇ ψυχῇ λύσσαν ἄληκτον ἔχειν.
Μαρτύρομ' ἀθανάτοιο θεοῦ χέρα, καὶ τὸ πόνηρον
　Ἦμαρ, ὃ τὰ θνητῶν ὕστατον εἰς ἓν ἄγει,
Ὡς σε καταιχμάζων, καὶ ἄλγεσι παντοδαποῖσι
　Κάμπτων, καὶ νεκύων θήσομ' ἀκιδνοτέρην,
Εἰ μή μοι στήσειας ἀτασθαλίην τε, ῥόον τε,
　Τῶν καθαρῶν Χριστοῦ δραξαμένη θυσιῶν.
Ἐλθέ μοι ὦ δακρύων τε καθάρσιε νεόθι πηγὴ,
　Κἀγρυπνίη μογερὴ σώματος ἠδὲ νόου,
Ὄφρα καταψύξειας ἐμὴν φλόγα, καὶ μυδόωσαν
　Ῥύψειας παθέων σπιλεδὸν ἀργαλέων.
Καὶ γαστὴρ ἀπόπεμπε κόρον, καὶ κείμενον ἔραζε
　Γοῦνα κατεσκλήκοι, καὶ κόνις εἶδαρ ἔοι.
Καὶ τρηχὺς ἁπαλοῖσι περὶ ῥεθέεσσι πετάσθω 　γρ. περὶ
　Σάκκος, ἐμῆς ψυχῆς ἄλκαρ ἰαινομένης. 　ῥε.
Ἐλθὲ κατηφιόωσα χοὸς δμήτειρα μεληδῶν,
　Αἰὲν ἐπερχομένας μάστιγας ὀσσομένη.
Τοῖα μὲν ἀφραδίης ἐμὰ φάρμακα. σεῖο δὲ Χριστὲ

Καὶ ζωὴ καθαρὴ, καὶ βίος ἐκ νεκύων.
Τίς προγόνου κακίης τε καὶ αἵματος ἡμετέροιο
Δέξατ', ἐπεὶ γεῦσιν μύσατο καὶ ἀπάτην;
Τίς σκολιὸν βασιλῆα γόοις ἐκάθηρε Μανασσῆ;
Τίς Δαυὶδ μεγάλης λύσατο ἀμπλακίης;
Τίς χθαμαλὴν θρήνοισιν ἰδὼν ἐσάωσε Νινευΐν;
Τίς δ' ἐπὶ παιδὶ βάλεν δάκρυον ὁπλοτέρῳ;
Τίς χαίρειν καθαροῖσιν ἑκὰς βάλεν ἠδὲ τελώνας;
Τίς πρόβατον ὤμοις αἴθετο πλαζόμενον;
Τίς λεπροὺς ἐκάθηρε; πικρὰς δ' ἀπόεργαθε νούσους,
Σώμασι καὶ ψυχαῖς ἐσθλὰ χαριζόμενος;
Σεῖο μάκαρ τάδε δῶρα, βροτῶν φάος· ἀλλ' ἐπι-
Οἴδματος ἡμετέρου, καὶ σάλος αἶψα πέσοι (βαίης

ΑΠΟΤΡΟΠΗ ΤΟΥ ΠΟΝΗΡΟΥ καὶ τοῦ Χριστοῦ ἐπίκλησις.

στα
Φεῦγ' ἀπ' ἐμῆς κραδίης δολομήχανε, φεῦγε τάχι
Φεῦγ' ἀπ' ἐμῶν μελέων, φεῦγ' ἀπ' ἐμοῦ βιότου.
Κλὼψ, ὄφι, πῦρ, βελίη, κακίη, μόρε, χάσμα, δράκων, θήρ.
Νὺξ, λόχε, λύσσα, χάος, βάσκανε, ἀνδροφόνε.
Ὃς καὶ πρωτογόνοισιν ἐμοῖς ἐπὶ λοιγὸν ἐνῆκας,
Γεύσας τῆς κακίης ὄλιε καὶ θανάτου. (σης
Χριστὸς ἄναξ κέλεταί σε φυγεῖν ἐς λαῖτμα θαλάσ-
Ἢ κατὰ σκοπέλων, ἢ ἐς συῶν ἀγέλην,

Ὡς

Ὡς λεγεῶνα πάροιθεν ἀτάσθαλον· ἀλλ' ὑπόεικε,
Μή σε βάλω σταυρῷ, τῷ πᾶν ὑποτρομέει.
Σταυρὸν ἐμοῖς μελέεσσι φέρω· σταυρὸν δὲ πορείῃ,
Σταυρὸν δὲ κραδίῃ· σταυρὸς ἐμοὶ τὸ κλέος.
Οὐ λήξεις λοχόων με κακόσχολε, οὐκ ἐπὶ κρημνοὺς;
Οὐ σόδομα βλέψεις; οὐκ ἀθέων ἀγέλας;
Οἳ μεγάλην θεότητα διατμήξαντες ἔλυσαν·
Ἀλλ' ἐπ' ἐμὴν πόλιν, ἀλλ' ἐπ' ἐμὴν κραδίην;
Αἰεί με δνοφεροῖσι νοήμασιν ἐχθρὲ μιαίνεις·
Οὔτε θεὸν τρομέων οὔτε θυηπολίας.
Οὗτος ὁ τριάδος νόος ἔπλετο ἠχέτα κῆρυξ,
Καὶ νῦν τέρμα βλέπεις· βόρβορε μή με θέλγε.
Ὡς καθαρὸς καθαροῖσι συναντήσω φαέεσσιν
Οὐρανίοις, ἀγλαὶ εὖτ' ἐπ' ἐμὴν βιοτήν.
Ταὶ δὲ χέρας τανύω. δέξασθέ με χαῖρε σὺ κόσμε.
Χαῖρε μογηροφόρε, φείδεο τῶν μετ' ἐμέ.

ΘΡΗΝΟΣ.

Ὤμοι ἐγών, ὅτι δή με πρὸς οὐρανὸν ἠδὲ θεοῖο
Χῶρον ἐπειγόμενον, σῶμα τόδ' ἀμφὶς ἔχει.
Οὐδέ πη ἔκβασίς ἐστι πολυπλανέος βιότοιο,
Καὶ συγγενῆς κακίης, ἥ μ' ἐπέδησε κάτω,
Πάντοθεν ἀπροφάτισι περικλυπέουσα μερίμναις
Βοσκομένας ψυχῆς κάλλεα καὶ χάριτας.
Ἀλλά με λῦσον ἄναξ, λῦσον χθονίων ἀπὸ δεσμῶν,
Καί με χοροστασίην τάξον ἐς οὐρανίην.

ΠΡΟΣ

ΠΡΟΣ ΤΟΝ ΑΥΤΟΥ θυμόν.

Θυμὲ, βλέψον ἄνω· χθονίων δ' ἐπιλήθεο πάντων,
Μὴ δέ σε νικήσῃ πρὸς κακότητα δέμας.
Τυτθὸς μὲν βίος ἐστί. ὁ δ' ὄλβιος, ὡς ἐν ὀνείρῳ
Τέρπεται. ἀλλοίῃ δ' ἄλλος ἔκυρσε τύχῃ.
γρ. Μύ- Μοῦνος δ' αὖ ζωῆς καθαρῆς βίος ἔμπεδος αἰεὶ,
νης ζω Καὶ πόλις, ἣν ζώειν ἐστὶν ἀρειότερον.

ΠΕΡΙ ΤΟΥ ΕΠΙΚΗΡΟΥ ΤΗΣ αἰθερoπίνης φύσεως.

Κόσμε φίλ', ὦ φίλε πάντα, τί μ' ὡς τροχὸς ἀμφιέ-
Ῥοιζηδὸν φορέεις ἀντιπερδόμενον; (λικτος
Μύρμηχ' ὡς ὀλίγον πικρὴν φορὲν ἀχαλόωντα;
Ἔμπα γε μὴν φορέεις τόσον ἐόντα, τόσος.
Οἶδα μὲν ὡς θεόθεν σοῦ θεῦ κλέος. ἀλλὰ καὶ αὐτὸς,
Χριστοῦ χειρὶ πάγην πλεκτὸς ἀπ' ἀμφοτέρων,
Οὐρανίων, χθονίων τε· τὸ μὲν δέμας, ἔνθεν ἐτύχθη·
Ψυχὴ δ' αὖ, μεγάλου ἐστὶν ἄημα νόου.
Ἀλλὰ καὶ ὡς, πολλοῖσιν ἐλαύνομαι ἔνθα καὶ ἔνθα
Πήμασιν, ἐξ ἐμέθεν πήμασι δυσμενέος.
Δελφὶς δ' ὡς ἐπὶ χέρσον ἁλίδρομος, ἠέρι θνήσκω.
Κόσμε, παρῆλθεν ἐγώ· λαὸν ἄζωτον ἄγοις.

ἌΛΛΟ.

Ἀλλήλους μὲν ἐγώ τε καὶ ὁ χρόνος, ὡς πετεηνὰ
Ἢ νέες ἐν πελάγει ἀντιπαρερχόμεθα,
Ἑσταὸς οὐδὲν ἔχοντες. ὃ δ' ἤμπλακον, οὐ παραθρέξει,
Ἀλλὰ μένει, ζωῆς τοῦτο μογερώτατον.
Οὐδ' ὅ,τι δέξομ' ἔχω, ζῆσαι πλέον; ἠὲ λυθῆναι.
Τάρβος ἔπ' ἀμφοτέροις. ὧδε δὲ φράζεό μοι.
Ζωή μοι πολύμοχθος ἀμβροτάσιν· εἰ δὲ θάνοιμι,
Αἲ αἴ, τὴν προτέρων οὐδὲν ἄκος παθέων.
Εἰ ζωὴ τόδε σοι τεκμαίρεται, ἧς τόσον ἄχθος,
Οὐδὲ τὸ λυθῆναι λύσιν ἔχει καμάτων·
Κρημνὸς δ' ἀμφοτέρωθε· τί ῥέξω μὲν; ἓν τὸ δ' ἄριστον,
Λεύσσειν πρὸς σὲ μόνον, σήν τ' ἀγανοφροσύνην.

ΕΠΙΤΑΦΙΟΣ ΚΑΙ ΣΥΝΤΟΜΗ τοῦ αὐτοῦ βίου.

Χριστὲ ἄναξ, τί με σαρκὸς ἐν ἄρκυσι τῇσδ' ἐνέδυσας; γρ. ἐνέδησας
Τίπτε με τῷδε βίῳ θῆκας ὑπ' ἀντιπάλῳ;
Πατρὸς μὲν γενόμην θεοειδέος, οὐκ ὀλίγης δὲ
Μητέρος, ἐς δὲ φάος ἤλυθον εὐξαμένης.
Ηὔξατο, καί μ' ἀνέθηκε θεῷ βρέφος, ἀφθορίης δὲ
Θερμὸν ἔρωτα χέεν ὄψις ἐμοὶ νυχίη.
Χριστὸς μὲν δὴ τοῖα. τὰ δ' ὕστατα, κύμασιν ἐρράθην.
Ἀρπαλέαις παλάμαις ἤρκεσα, σῶμα λύθην.

Ποι-

Ποιμέσιν οὐ φιλίοισι συνέδραμον, ἠΰτε ἄπιστοι.
Χηρώθην τεκέων, πήμασι χασσάμενος.
Οὗτος Γρηγορίοιο βίος. τὰ δ' ἔπειτα, μελήσει
Χριστῷ ζωοδότῃ· γράψατε ταῦτα λίθοις.

ΜΕΤΑΝΟΗΤΙΚΟΝ ΚΑΙ παρακλητικόν.

Ἐγγὺς ἀγὼν βιότοιο, κακὸν πλόον ἐξεπέρησα.
Ἤδη καὶ στυγερῆς τίσιν ὁρῶ κακίης.
Τάρταρον ἠερόεντα, πυρὸς φλόγα, νύκτα βαθεῖαν,
Τῶν νῦν κρυπτομένων, αἶσχος ἐλεγχομένων.
Ἀλλὰ μάκαρ ἐλέαιρε, καὶ ὀψέ περ ἐσθλὸν ὀπάζοις
Ζωῆς ἡμετέρης λείψανον εὐμενέων.
Πολλὰ πάθον, καὶ τάρβος ἔχω φρενί· μή με διώκειν
Τῆς σῆς ἤρξατ' ἄναξ αἰνὰ τάλαντα δίκης;
Οἶσθα μὲν τὸ ἐμὸν κἀυτὸς μόρον ἔνθεν ὀδύσας
Εἶξας προσφρονέως πήμασι θυμοβόροις.
Ὑμῖν δ' ἐσσομένοις ἐπιτέλλομαι, οὐδὲν ὄνειαρ
Τοῦδε βίου. ζωὴ λῦσιν ἔχει βιότου.

ΘΡΗΝΟΣ ΠΕΡΙ ΤΩΝ ΤΗΣ ΑΥΤΟΥ ΨΥΧΗΣ παθῶν.

Δύσμορος οἷα πάθον; τίς μοι γόος ἄξιος ἔσται;
  Τίς πηγὴ δακρύων ἄρκιος; οἷα μέλη;
Οὔτε μόρον παίδων τις ἑῶν ἐκλαύσατο τόσσον,
  Η κεδνῶν τοκέων, ἠὲ φίλης ἀλόχου,
Οὐ πάτρην γλυκερὴν μαλερῷ πυρὶ τεφρωθεῖσαν·
  Οὐ νούσῳ στυγερῇ ἅψεα τειρόμενα.
Οσσον ἐγὼ ψυχὴν ὀλοφύρομαι αἰνὰ παθοῦσαν.
  Φεῦ τάλας, ὀλλυμένης εἰκόνος οὐρανίης.
Ναὶ γὰρ δὴ μεγάλοιο θεοῦ καὶ πλάσμα καὶ εἰκὼν
  Ανθρωπος, θεόθεν ἐς θεὸν ἐρχόμενος.
Οστις αἴω νδύσας, καὶ πνεύματι σάρκα πεδήσας,
  Χριστὸν ἔχει ζωῆς ἵλαον ἡγεμόνα,
Κτῆσιν ἑὴν, γλῶσσάν τε, καὶ οὔατα, καὶ νόον αὐτὸν,
  Καὶ σθένος, ἐρχομένῳ πάντα διδοὺς βιότῳ,
Αρπάζων κόσμου πολυχανδέος, ὅσσα κατεῖχεν
  Αρπαξ ἀλλοτρίων, ἀντίθεος βιίας·
Ες δὲ ταμεῖα φέρον πολὺ φέρτερα τῶν ἐπὶ γαίης,
  Τῶν διακλεπτομένων, ἢ καταλυομένων,
Αὐτὸν ἀθρῆσαι ἄνακτα θεὸν καὶ πνεῦμα γλιχέσθω,
  Σάρκ' ἀποδυσάμενος καὶ πάχος ἀντίτυπον,
Αγγελικοῦ τε χοροῖο λαχεῖν στάσιν αἰγλήεντος
  Μεῖζον τῶν μεγάλων ἆθλον ἔχων καμάτων,

Μηκέθ' ὁρῶν σκιῆς ἐλαφρὴν τύπον, ὡς τὸ πάροι-
Μηδὲ νόμου γραπτὴν εἰκόνα λυομένην, (θεν,
Αὐτὴν δ' ἀτρεκίην καθαροῦ νοὸς ὄμματι λεύσσων
Μέλπων τ' ἐκ στομάτων ἦχον ἑορτάσιον.
Τοῦτο τέλος βροτέης ζωῆς πέλει, ἐς τόδ' ἀνέλκει
Τῶν χριστοῦ παθέων ὕβρις ἐπιχθονίους.
Ὃς δούλου μορφὴν ἀνεδέξατο, καὶ θανάτοιο
Γεύσατο, καὶ ζωῆς δεύτερον ἠντίασεν
Ὢν θεὸς, ἂν ζωῆς ταμίης, αἰῶνος ὕπερθεν,
Εἰκὼν ἀθανάτου πάντοτε πατρὸς ὅλη. (μένος
Ὄφρα με δουλοσύνης τε λύσῃ, θανάτοιό τε δεσ-
Κρείσσονα πρὸς ζωὴν ἔμπαλιν ἐρχόμενον.
Ἀλλ' ἐγὼ οὐκ ἐφύλαξα θεοῦ μυστήρια κεδνὰ,
Μύστιν ἔχων ψυχὴν οὐρανίης ἀνόδου,
Ἀλλὰ κάτω βρίθει με χοὸς πάχος· οὐδ' ἐδυνάσθην
Ἰλύος ἐξαναδὺς, ἐς φάος ὄμμα βαλεῖν. (πτον,
Ναὶ βάλον. ἀλλὰ μέσον νέφος ἵσταται ὅ σε καλύ-
Σὰρξ ἐπανισταμένη πνεύματι σὺν χθονίῳ.
Πολλὰ μὲν ἐν κραδίῃ μεληδήματα ἔνθα καὶ ἔνθα
Στρωφᾶται κενεὰ πλαζομένοιο νόου,
Χριστὸν ἑκὰς βάλλοντα, θεὸν λόγον. οὐ δέχεται γὰρ
Μίγνυσθαι ψυχῇ νυμφίος ἀλλοτρίῃ. (λέθρου.
γρ. κακὰ φαρ· Πολλὰ δ' ἐπὶ γλώσσῃ κέαται λυγρὰ φάρμακ' ὀ-
Γλῶσσα γὰρ αἰθερόπις ἥμισυ τῆς κακίης,
Θυμὸν ἐρευγομένη γυμνὸν κακόν. ὅς τε μάλιστα
Λάβρος ἐπιζείων, ἐκ νοὸς αἶψα φέρει.

Η δὲ·

Ἢ δολερὸν κεύθοντα ἐνὶ στήθεσι νόημα
  Λεῖα δ' ἄρ' ἐξ ἁπαλοῦ φθέγγομένη στόματος.
Εἴθε δὲ μοι τι θύρετρον ἐπ' ὀφθαλμοῖσιν ἐμοῖσιν,
  Οὔασί τ' οὐκ ἀγαθῶς πάντοσε πεπταμένοις.
Ὡς τὸ μὲν ἐσθλὸν ὁρᾶν τε, καὶ εἰσαΐοντα δέχεσθαι,
  Κλείεσθαι δὲ κακοῖς ἀμφότερ' αὐτομάτως.
Χειρῶν τ' ἔργον ἄριστον ἐς οὐρανὸν αἰὲν ἀείρειν,
  Ἁγνάς, καὶ παρέχειν οὐρανίοισι νόμοις.
Ὡς δὲ ποδῶν ἰέναι λείην ὁδόν, οὐκ ἐπ' ἀκάνθας,
  Οὐδὲ κατὰ σκοπέλων, καὶ τρίβον οὐχ ὁσίην.
Νῦν δὲ θεὸς μὲν ἔδωκεν ἅπαν μέλος ἐσθλὸν ἐπ'
  Εὕρατο δ' ἡ κακίη ὅπλον ἐμοὶ θανάτου (ἐσθλοῖς
Τίς νόμος οὗτος ἐμοί; πῶς δέσμιος εἰμ' ἐπὶ γαίης
  Σαρκός; πῶς δ' ἐλαφρῷ πνεύματι σῶμα μίγη;
Οὔθ' ὅλος εἰμὶ νόος, καθαρὴ φύσις, οὔτε χερείων
  Χοῦς ὅλος. ἐκ δ' ἀμφοῖν ἄλλο τι κἀμφότερον.
Τοὔνεκα καὶ πολέμοιο φέρω κλόνον αἰὲν ἄπιστον,
  Σαρκὸς καὶ ψυχῆς ἀντικαθεζομένων.
Εἰκών εἰμι θεοῖο, καὶ ἕλκομαι ἐς κακότητα,
  Κρείσσονι μαρναμένη χείρονος οὐχ ὁσίως.
Ἢ φεύγω κακότητα, καὶ ἵσταμαι οὐκ ἀμογητὶ
  Πολλὰ διαθλήσας χειρὶ σὺν οὐρανίῃ.
Ἔστι γὰρ ἔστιν ἐμοὶ διπλοῦς νόος, ὧν ὁ μὲν ἐσθλός,
  Ἑσπόμενός τε καλῷ· αὐτὰρ ὁ χερότερος,
Ἑσπόμενός τε κακοῖσιν. ὁ μὲν νόος ἐστὶν ἕτοιμος
  Πείθεσθαι Χριστῷ πρὸς φάος ἐρχόμενος

Ἄλλος

Αλλος δ' αὖ σαρκός τε καὶ αἵματος· ἔστι δὲ πρόφρων
 Δέχνυσθαι βριθίαν πρὸς ζόφον ἑλκόμενος.
Ητοι ὁ μὲν χθονίοισιν ἰαίνεται, ὥσπερ ἐπ' ἐσθλοῖς
 Τοῖς οὐχ ἱσταμένοις ἀλλὰ παριπταμένοις
Καὶ φιλέει κώμους τε, καὶ ἔχθεα, καὶ κόρον αἰνὸν,
 Ἐργων τε σκοτίων αἴσχεα, κερδοσύνας·
Εὐρείην δ' ὁδὸν εἶσιν, ἑὸν δ' ἐπιτέρπει ὄλεθρον,
 Αφροσύνης δνοφερὴν ἀχλὺν ἑφεσσάμενος.
Αὐτὰρ ὅ γ' οὐρανίοισιν ἀγάλλεται οὐ παρεοῦσι,
 Τοῖς ἐλπιζομένοις, καὶ θεὸν οἷον ἔχει
Ελπωρὴν βιότοιο. τὰ δ' ἐνθάδε καπνὸν ἄτιμον
 Αλλοθ' ὑπ' ἀλλοίῃ κείμενα συντυχίῃ.
κ·αγ- κωρίη: Καὶ φιλέει πενίην τε, καὶ ἄχθεα, καὶ μελεδῶνας
 Ἐσθλάς· καὶ στεινὴν εἶσιν ὁδὸν βιότου.
Μαρναμένοισι δὲ τοῖσιν, ἐπίσκοπον ἦλθεν ἄνωθεν
 Πνεῦμα θεοῦ μεγάλου, καὶ νοῒ δῶκε χέρα,
Σώματος ἀργαλέοιο λύον κλόνον, ἡ δὲ κελαινῶν
 Εὐνάζων παθέων οἶδμ' ἐπανιστάμενον.
Η δὲ καὶ ὣς λυσσῆεν ἔχει μένος, οὐδ' ἀπολήγει
 Σὰρξ πολέμου, κλίνει δ' ἔνθα καὶ ἔνθα μάχη·
Αλλοτε μέν τε νόῳ χοῦς δάμναται, ἄλλοτε δ' αὖτε
 Σαρκὶ νόος κρατερῇ ἕσπεται οὐκ ἐθέλων.
Αλλὰ τὸ μὲν ποθέει, τό γε βέλτερον· ὃ στυγέει δὲ
 Ερδει, δουλοσύνην μύρεται ἀργαλέην
Πατρὸς τ' ἀρχεγόνοιο πλάνην, καὶ μητρὸς ἀλιτρὴν
 Παρφασιν. ἡμετέρης μητέρα μαργοσύνης.

Καὶ

Καὶ σκολιοῖο δράκοντος ἀτάσθαλον αἱμοβόροιο
 Ψεῦδος, ὃς ἀνθρώπων τέρπεται ἀμπλακίαις.
Καὶ ξύλον, ἡ δὲ φυτοῖο βροτῶν δηλήμονα καρπὸν,
 Γεῦσιν τ' ὀλλομένῳ, καὶ θανάτοιο πύλας.
Γύμνωσιν μελέων τε παναίσχεα, καὶ παραδείσου
 Ἠδὲ φυτοῦ ζωῆς ῥῖψιν ἀτιμοτάτην.
Ταῦτα νόος κάμνων ὀλοφύρεται. ἡ δὲ νύ μοι σὰρξ,
 Δέρκεται ἐς προγόνους, καὶ φυτὸν ἀνδροφόνον.
Πᾶσαί τε γλυκερὴν ἀσπάζεται αἰὲν ἐδωδὴν
 Ἣν ὀλοὸς σαίνων δείκνυσι πικρὸς ὄφις.
Ἦ μὴν καὶ γοάω, καὶ εὐχωλῇσιν ἄνακτα,
 Ὃς πάντων κρατέει, καὶ ζυγὰ πᾶσι φέρει,
Λίσσομ' ὑπὲρ ψυχῆς καὶ σώματος. ἀμφοτέροισιν
 Εὐμενέως δικάσαι, καὶ πόλεμον σκεδάσαι
Κρείσσονι, ἣ θέμις ἐστὶν, ὑποκλίναντα χέρειον·
 Τοῦτο γὰρ οὐκ ὀλίγῳ λώϊον ἀμφοτέροις.
Μὴ κατὶ βεβαρημένην ψυχὴν ἐπὶ γαῖαν ὀδεύειν,
 Ὥστε μολυβδαίνην ἐς βυθὸν ἑλκομένην.
Πνεύματι δὲ πτερόεντι καὶ εἰκόνι χοῦν ὑποεῖξαι,
 Ὡς κηρίο πυρὶ τηκομένης κακίης.
Τοιάδε λισσόμενος, καὶ φάρμακα σαρκὶ παχείῃ
 Πολλὰ φέρω, χαλεπὴν ὄφρα νόσον σκεδάσω,
Καὶ μένος, οἷά τε θηρὸς ἀπιστοτάτοιο κραταιοῖς
 Δεσμοῖσιν κατέχω, οἶδμα κακὸν τρομέων.
Γαστέρι κλεῖθρα τίθημι, δυσαλθέϊ θυμὸν ἀνίῃ
 Δάπτω, καὶ δακρύων ἐκπροχέω λιβάδας.

Κάμπτω γούνατ' ἄνακτι τετρυμένα, νύκτας ἀΰπνους
　Ελκω, καὶ ῥυπόω πένθιμον ἔσθος ἔχων.
Αλλων εἰλαπίναι τε, χοροστασίαι τε, γέλως τε,
　Καὶ κῶμοι, χλοερῆς παίγνιά θ' ἡλικίης.
Αλλοι δ' αὖτ' ἀλόχοισιν καὶ υἱέεσι γαίωνται,
　Καὶ πλούτου κρατεροῦ κύδεϊ λυομένῳ.
Αλλοι δ' αὖτ' ἀγοραῖς τε καὶ ἄλσεσιν, ἠδὲ λοετροῖς
　Τέρπονται, καὶ τῷ εἶν ἐν πολίεσσι μέγα.
Εὐφήμοις τε λόγοισι καὶ ἑσπομένων ὀρυμαγδῶν
　Πεμπόμενοι, σοβαροί θ' ὑψόθεν ἐκ σανίδων·
Πολλαὶ γὰρ θνητοῖσι πολυσχιδέος βιότοιο
　Τέρψιες· ἐν δὲ κακοῖς, κέκραται εὐφροσύνη.
Αὐτὰρ ἐγὼ τέθνηκα βίῳ· βαιὸν δ' ἐπὶ γαίης
　Ασθμα φέρω, φεύγω δ' ἄστεα, καὶ μέροπας,
Θήρεσι καὶ σκοπέλοισιν ὁμιλῶν, οἶος ἀπ' ἄλλων
　Ναιετάω λυπρὴν ῥωγάδα καὶ σχέδιον.
Οἰοχίτων, ἀπέδιλος, ἀνέστιος, ἐλπίδι μούνῃ
　Ζώων· καὶ λώβη πᾶσι πέλω χθονίοις.
Εὐνή μοι στιβάς ἐστι, τὰ ῥήγεα σάκκος ἐρυμνὸς,
　Καὶ κόνις ἐν δαπέδῳ δάκρυσι δευομένη.
Πολλοὶ μὲν στενάχουσι σιδηρείοις ὑπὸ δεσμοῖς·
　Αλλους δ' αὖ τέφρην πυνθάνομ' εἶδαρ ἔχειν·
Τοὺς δὲ, ποτὸν δακρύοισι μεμιγμένον ἀλγινόεσσιν
　Αλλους χειμερίαις βαλλομένους νιφάσι,
Νύκτας τεσσαράκοντα, καὶ ἤματα δένδρεσιν ἶσα
　Εστάμεναι, κραδίῃ γῆς ἀπανισταμένους·

Καὶ

Καὶ θεὸν οἷον ἔχοντας ἐνὶ φρεσίν. ἄλλος ἔδησε
Κάλεα, καὶ γλώσσῃ θῆκε χαλινὰ φέρειν
Οὐ μὴν πάντα χαλινά· ὕμνοις δ' ἀνέηκε μόνοισιν,
Εμπνοον ὡς κιθάρην πνεύματι χρυσομένην.
Καὶ Χριστῷ κεφαλὴν τις ἑὴν ἀνέθηκε φυλάσσων,
Εὐχῆς εἵνεκ' ἀγέος εἵνεκ' ἀκερσεκόμην.
Ομματα δ' ἄλλος ἔπηξε, καὶ οὔασι θῆκε θύρετρα,
Μή τι λάθῃ πέμψας κέντρον ἔσω θανάτου.
Τοῖα μὲν ἐξ ἐμέθεν καὶ φάρμακα δυσμενέοντι·
Ηδη καὶ πολλὴν ἄλκαρ ἐμῶν παθέων.
Πολλὰ δ' οὐκ ἐθέλοντα καταιγίδες ἀπρεσίοπτοι
Στρεφθῶσιν, χαλεποῖς ἄλγεσι τειρόμενον.
Αὐτὰρ ὅγ' οὔτε λόγοις ἐπιπείθεται, οὔτε μόγοισι
Δάμναται, οὔτε χρόνῳ κάμπτεται ὀκρυόεις,
Αλλ' αἰεὶ ζωῆς κατεναντίον ὄμμασι τυφλοῖς
Σπεύδει, καὶ κρημνοὺς ὡς λεγεὼν ποθέει·
Εἰ δέ τι που καὶ βαιὸν ὑπεῖξε θεοῖο
Δείμασιν, ἠὲ πόνοις, ἢ θεόθεν λογίοις·
Ωστε φυτὴν παλάμῃσι μεθηκόμενον κομέοντος,
Γυροῦται προτέρην ἔμπαλιν ἐς κακίην.
Ω μέλεοι θανάτοιο βροτῶν γένος, ὡς ῥα κακοῖσι
Δαπτόμενοι, μανίῃ τερπόμεθ' ἡμετέρῃ,
Οὔτε λόγον τίοντες, ὃν ἔνδοθι γινομένοισι
Θῆκε θεὸς ζωῆς σπέρμα χαριζόμενος·
Οὔτε νόμον φρονέοντες, ὃν ἔν ποτε λαϊνέῃσι, χ. ἤτοι
Γράμματι ἀρρενικὴν Χριστὸς ὑποσκιάων στήλῃ

Πλαξὶν ἄναξ ἐχάραξε, καὶ ὕστατον ἐν κραδίῃσιν
  Ημετέραις, αἴγλη πνεύματος ζαθέως.
Καὶ Χριστοῦ παθέεσσιν ἐναντία μητιόωντες,
  Οἷσιν μ' ἐκ παθέων εἵλκυσεν ἀργαλέων,
Σάρκα λαβών, σταυρῷ τε παρεὶς, πήξας τε μέγαιραν
  Πλάσματος ἀμπλακίην καὶ βιαίου κράτος.
Οφρα παλιγγενέες τε καὶ ἐκ τύμβοιο θορόντες
  Χριστῷ σῷ μεγάλῳ κῦδος ἔχω μὲν αἰῶ.
Πολλὰ μὲν δὴ πᾶσιν ἐπιχθονίοισι θεοῖο
  Δῶρα, τὰ καὶ γλώσσης κρείττονα ἡμετέρης.
Καὶ γάρ με πληγῇσιν ἀτασθαλέοντα δαμάζων,
  Ελκει πρὸς ζωὴν, καὶ φίλα μητιόων.
Πάντα γὰρ εὐμενέοντι νόῳ μερόπεσσι κυβερνᾷ
  Εἰ καὶ κρυπτὸν ἔῃς βένθος ἔχει σοφίης.
Καὶ πολὺς ἡμετέρης γενεῆς ζόφος ἡ δὲ θεοῖο
  Ισταται ἐν μεσάτῳ, ὃν περόωσ' ὀλίγοι
Ομμασιν ὀξυτάτοισι διαυγέες ἐκ βιότοιο,
  Καὶ καθαροὶ καθαρῆς ἁπτόμενοι σοφίης.
Αὐτὰρ ἐμοὶ Χριστὸς πελώριον εὖχος ὀπάζων,
  Πρῶτα μὲν εὐξαμένῃ νόσφιν ἐκ κραδίης
Μητέρι δῶρον ἔδωκε, καὶ ἐκ τοκέων ὑπέδεκτο
  Δῶρον· ἐπεὶ "τέκνων φέρτερον οὐδὲν" ἔχειν
γρ. τέκνον Εν πᾶσι κτεάτεσσιν. ἔπειτα δὲ θεῖον ἔρωτα
γρ. ἔχων Φάσμασιν ἐννυχίοις σώφρονος ἧκε βίου.
Εἰ δ' ἄγε νῦν ἀΐοιτε θεόφρονες, οἱ δὲ βέβηλοι
  Ψυχαὶ, ὑμετέροις οὔασι θέσθε θύρας,

Παῖς

Παῖς μὲν ἔην ἁπαλὸς, πάϊς οὐ μάλα· ἡνίκα δὲ φρὴν
   Ἐσθλῶν ἠδὲ κακῶν εἰκόνας ἐγγράφεται,
Οὔπω μὲν στερεοῖσι νοήμασιν εἶδος ἔχουσα,
   Ἤθεσι δ' ἀλλοτρίοις πρῶτα χαρασσομένη.
Αὐτὰρ ἐμοὶ τοκέες νόον ἔγραφον οὔτι κακοῖσι
   Χρώμασι, τῆς δ' ἀρετῆς ἐσθλὰ διδασκομένῳ.
Καὶ γὰρ δὴ πάντεσσιν ἐπιχθονίοισιν ἀγητοὶ
   Ἔσκον, ἐπ' εὐσεβίῃ θυμὸν ἔχοντες ἕνα,
Ἶσον" ὁμοῦ πολιῆτε, καὶ ἤθεσι κυδαλίμοισιν, γρ. ἐμοῦ
   Ἀνδρομένης ζωῆς ὄλβιοι ἀφνειέες (δρης
Μέζα παρεξοχάοντες, ὁ μέν ποτε τηλόθι μάν-
   Ἑστηκὼς μεγάλης, ἧς μέγα νῦν κρατέει,
Οὐκ ὄϊς, εἶτ' οἰῶν προφερέστατος· ἐξ οἰῶν δὲ,
   Ποιμὴν, νῦν δὲ πατὴρ, καὶ νομέων νομέας.
Οὔτι μὲν ἐς πολύκαρπον ἀλωὴν ὄρθριος ἰθὼν,
   Πουλὺ δ' ἀποκρύψας τοὺς προτέρους καμάτους.
Ἡ δ' ἱερῶν τοκέων, ἱερὸν φυτὸν, εὐαγέος τε
   Ῥίζης, καὶ πτόρθων μητέρος εὐαγέων.
Οὐδὲν ἀτιμοτέρη προτέρων, αἳ Χριστὸν ἄνακτα
   Δέξαντ', ἠδὲ τάφου λεῦσσαν ἀνεγρόμενον.
Βαιὸν μὲν πνείοντες ἐπὶ χθονὶ σαρκὸς ἀνάγκῃ,
   Πλείονα δὲ ζωῆς μοῖραν ἔχοντες ἄνω, (κτος
Τοῖς μὲν ἐγὼν ἁπαλὴν πλάσθην φρένα, καὶ νεόπη-
   Οἷα τυρὸς, ταλάρου λάμβανον ἄψα τύπον,.
Καί ποτέ μοι κνώσσοντι παρίστατο τοῖος ὄνειρος,
   Ἕλκων ῥηϊδίως ἐς πόθον ἀφθορίης.

BIBLIOTECA NAZ. ROMA VITTORIO EMANUELE

Δοιαί μοι δοκέεσκον ἐν εἵμασιν ἀργυφέοισι
Στράπτειν παρθενικαὶ πλησίον ἱστάμεναι.
Ἀμφω μὲν καλαί, καὶ ὁμήλικες. ἀμφοτέραις δὲ
Κόσμος ἀκοσμίη, κάλλος ὃ θηλυτέραις.
Οὐ χρυσὸς δειρὴν κατεκόσμεεν, οὐδ' ὑάκινθος,
Οὐδ' εἶχον σηρῶν νήματα λεπταλέα.
Οὐδὲ λίνου μαλακοῖο περὶ ῥεθέεσσι χιτῶνας,
Οὐ γραπτοῖς βλεφάροις ὄμμ' ὑπολαμπόμενον.
Οὐδ' ὅσα τεχνήσαντες ἐπ' εἴδεσι θηλυτεράων
Ἄνδρες ἐμήσαντο φάρμακα μαχλοσύνης.
Οὐ ξανθαὶ πλοκαμῖδες ὑπὲρ νώτοιο χυθεῖσαι
Παῖζον ἅμα πνοιαῖς εὐκραέων ἀνέμων.
Ζώνη μὲν τῇσίν γε καλὸς ἐσφίγγετο πέπλος;
Ἄχρι καὶ ἀστραγάλων ἐς πόδας ἑλκόμενος.
Κρηδέμνῳ δ' ἐφύπερθε κάρηατα ἠδὲ παρειὰς
Κρυψάμεναι, κατὰ γῆς ἑσταότ' ὄμματ' ἔχον.
Αἰδῶς ἀμφοτέρῃσιν ἐπέπρεπε καλὸν ἔρευθος,
Ὅσον ἐνωπίων φαίνεθ' ὑπ' ἐκ φαρέων.
Σιγῇ δ' ἀμφοτέρῃσι μεμυκότα χείλεα κεῖτο,
Οἷόν τε δροσεραῖς ἐν καλύκεσσι ῥόδον.
Τὰς μὲν ἐγὼν ὁρόων, μέγ' ἐγήθεον. ἦ γὰρ ἔφασκον
Κρείσσονας ἡμερίων ἔμμεναι οὐκ ὀλίγον.
Αἱ δέ με καὶ φιλέεσκον, ἐπεί σφισι θυμὸν ἰαίθην
Χείλεσιν, ἦα φίλον ὡς ἀγαπαζόμεναι.
Καί μοι ἐρεομένῳ τίνες ἢ πόθεν εἰσὶ γυναῖκες,
Ἡ μὲν Ἁγνείαν ἔφη, ἡ δὲ Σαοφροσύνην

Αἱ

Αἱ Χάριτες δὲ βασιλῆϊ παραστάδον ἑστηκυῖαι,
Κάλλεσιν οὐρανίων τερπόμεν᾽ ἀζυγέων.
Ἀλλ᾽ ἄγε δεῦρο τέκος μίξον τεὸν ἡμετέρησι
Καὶ πραπίδεσσι νόον, καὶ δαΐσιν δαΐδα,
Ὄφρα σε παμφανόωντα δι᾽ αἰθέρος ὑψιφέρουσαι,
Στήσωμεν ζιάδος παρ᾽ σέλας ἀθανάτου.
Ὣς φάμεναι, φορέοντο δι᾽ αἰθέρος· ὄμμα δ᾽ ἐμεῖο
Ἔασεν ἀφιπταμέναις· χ᾽ αἳ μὲν, ὄνειρος ἔσαν.
Δήθα δ᾽ ἐμὴ κραδίη σεμνοῖς ἰνδάλμασι νυκτὸς
Τέρπετο, καὶ φαεινῆς εἰκόσιν ἀφθορίης.
Ἄρτι μοι ἐς φρένα μῦθος ἀγείρετο, εὖτε νόημα
Ἐσθλῶν ἠδὲ κακῶν πήγνυται ἀτρεκέως.
Καὶ νόος ἡγεμόνευε πόθου, καὶ κάλλος ἀμυδρὸν
Ὄψιος ἐννυχίης φαίνετ᾽ ἀριπρεπέως.
Ὣς δ᾽ ὅτε καρφαλέῃ καλάμῃ σπινθὴρ αἴθη-
Ἔνδοθι βοσκόμενος, λάμπεται ἐξαπίνης (λος
Φλὸξ ὀλίγη τὸ πρῶτον, ἔπειτα δὲ πυρσὸς ἀέρθη
Ἄσπετος, ὣς καὶ ἐγὼ φάσματι δαιόμενος,
Ὣς χ᾽ ὑπέλαμπον ἔρωτα, σέλας δέ τε πᾶσι φαάνθη
Οὐκέτ᾽ ἐνὶ ψυχῆς βένθεσι κρυπτόμενον.
Πρῶτα μὲν εὐσεβέεσσιν ὁμίλεον, οἵ ῥα γάμοιο
Δεσμὰ φύγον, κόσμου λυόμενοι χθονίου,
Ὡς Χάριτες πτερόεντες ἅμ᾽ ἑσπώνται βασιλῆϊ,
Ἔνθεν ἀπορνύμενοι κύδεϊ σὺν μεγάλῳ.
Τοὺς μὲν ἐγὼ φιλέων τε καὶ ἀμφιέπων περὶ κῆρι,
Ἐλπίδος ἡγεμόνας εἶχον ἐπουρανίης.

Αὐτὰρ ἐπεὶ τὰ γάμοιο βαρὺν ζυγὸν ἐκτὸς ἔθηκα,
  Ὑψηλῶν ποθέων μοῖραν ἀειθαλέων.
Καὶ γὰρ δὴ φύσιες μὲν, ὅσαι λάχον οὐρανὸν εὐρὺν,
  Ἀζυγέες, παθέων κρείσσονες ἀργαλέων.
Αἰγλήεις πρώτιστα θεὸς μέγας. ὡς δὲ θεοῖο
  Λάτρεις ὑψιθρόνε πλησίον ἑσταότες,
Οἳ πρώτην ἀκτῖνα θεοῦ καθαροῖο φέροντες,
  Παμφαέες, θνητοῖς φῶτα χαριζόμενοι.
Ὅσσοι δ' ἐκ ψυχῆς καὶ σώματος εἰς ἓν ἄγερθεν,
  Καὶ δυὰς εἰσὶ χοὸς, ἔκγονα μαρναμένου,
Συζυγίην δοθέουσι, καὶ ἐς δέμας εἰσὶν ἑτοῖμοι
  Σπείρειν, ἀλλ' ὁ λόγος κρείσσονα μοῖραν ἄγων,
Σαρκὸς νόσφιν ἔθηκε, πλαίου δ' ἀποέργαθε κόσμου,
  Ζωῆς δ' ἀθανάτων θῆκ' ἀδέτοιο πηγάς
Ἔνθα μ' ἔπεμπε πόθος μεγαλήτορα, οὐδ' ἐπὶ γαίης
  Ἠρέδον χθαμαλῆς ἴχνιον ἀδρανέον.
Ἀλλ' ὥστε γλυκεροῖο γεγηθμένος ἠὲ γάλακτος
  Ἠ μέλιτος, σαθερῆς κεῖθι χοροστασίης,
Οὐκ ἔθελον πικρῆς μοι ἐδητύος ἄσσον ἱκέσθαι,
γρ. ἐνθάδε Θυμοβόρου κακίης ἔνδοθι πικτομένης.
Οὐδέτι μοι θαλίαι τε, καὶ ἃ νεότητι μέμηλεν,
  Οὐκ ἔσθος μαλακὸν, οὐδὲ χλιδῶσα κόμη,
Οὐκ αἰσχρῶν ἐπέων ἄχαρις χάρις, οὐδὲ γελῶντες
γρ. δυσμενέα Ἀκρατέες, σαρκὸς βεάσματα δυσμενέος
Ἔσκε φίλα· σκοπέλοις δὲ καὶ οὔρεα, καὶ κρεμέθοντας
  Ἵπποις, ἠδὲ κυνῶν θηροφόνων ὅμαδον

Ἄλλοι

Ἀλλοισιν παρέηκα. τὰ δ' ὄλβια πάντα τινάξας,
Αὐχέν' ὑπὸ στερεῇ θῆκα σαοφροσύνῃ,
Ἥμ' ἐκόμιζ' ἐφίλει τε, καὶ ἐς μέγα κῦδος ἄεξεν,
Ἐν δ' ἐτίθει Χριστοῦ χείρεσι προφρονέως.
Ἀλλὰ πάτερ, παιδός τε λόγος, καὶ πνεῦμα φαεινὸν
Ζωῆς ἡμετέρης ἕρμα κακοσαθέος,
Μή με λίπῃς χείρεσσιν ὑπ' ἀργαλέῃσι δαμῆναι
Δυσμενέος τῆς σῆς ἐλπίδος ἀντιπάλου.
Μὴ δ' ὡς νῆα μέλαιναν, εὔπλοον, ὀρθὰ θέουσαν,
Ἤδη καὶ λιμένων πλησίον ἱπταμένην,
Λαίφεσι πεπταμένοισιν ἐπαΐξασα θύελλα
Ἀργαλέων ἀνέμων ἐξαπίνης ὀπίσω
Πέμψεν παλίνορσον ἐπ' εὐρέα νῶτα βίοιο,
Ἔνθα καὶ ἔνθα κακοῖς βρασσόμενον μεγάλοις,
Μή πού καὶ κρυπτῇσι ποτὶ σπιλάδεσσιν ἐάξῃ.
Τοῖος γὰρ Βελίου τοῦ φθονεροῖο νόος,
Αἰὲν ἀπεχθαίρει μερόπων γένος, οὐδ' ἀπὸ γαίης
Βούλεται οὐρανίοις ἔμμεναι, οὐρανόθεν
Αὐτὸς ἐὼν διὰ μῆτιν ἐπὶ χθόνα τήνδε τιναχθεὶς
Δύσμορος, ὃς πρώτος κάλλεος εὖχος ἔχεν
Ἱέμενος, μεγάλην τε θεοῦ βασιληΐδα τιμήν,
Ἀντὶ φάους στυγερὴν ἀμφέσσατο σκοτίην.
Τοὔνεκα καὶ σκοτίοισιν ἰαίνεται αἰὲν ἐπ' ἔργοις,
Καὶ ζοφερῆς κακίης ἐνθάδε κάρτος ἔχει.
Διπλοῦς δ' αὖ μορφὴν τελέθει, σκολιός τε νόημα,
Ἄλλοτ' ἐπ' ἀλλοίην ἐρχόμενος παγίδα.

Ἤτοι

Ἤτοι ὁ μὲν σκότος ἐστὶν ὑπέρτατον· ἢν δέ μιν εὐ-
    Ἄγγελον ἐς φωτὸς ὦκα μεταστρέφεται. (ρης,
Καί ῥ' ἀπαλὸν γελόων, σαίνῃ φρένας. ἔνθα μάλιστα
    Φεράδμονος, ἀντὶ φάους μὴ θανάτῳ πελάσαι.
Τὴν μὲν γὰρ κακότητα φυγεῖν, καὶ χείρονος ἀνδρός.
    Πολλοῖς γὰρ κακίη ἔχθεται ἀμφαδίην.
Αἰνῶ δ' ὃς λαχόωντα, καὶ ὃς ἀΐδηλον ἐλέγχει,
    Πνεύματος ὀξυτάτοις ὄμμασι δερκόμενος.
Ἀλλὰ σάω καὶ γῆρας ἐμὸν πολιόν τε κάρηνον,
    Τέρμα φέροις ζωῆς ἵλαος, ὥς με πάρος
Ἐνδυκέως ἀγάπαζες, ἐπ' ἤματι δ' ἦμαρ ἄριστον
    Ἦγες, χρηστοτέραις ἐλπίσι πρόσθε φέρων.
Καί μ' ἐκ δυσμενέων τε καὶ ἀργαλέων μελεδώνων,
    Εὔδιον ἐς λιμένα σῆς βασιλείας ἄγοις.
Ὄφρα σε σὺν φαέεσσιν ἀεὶ ζώοισι γεραίρων,
    Κύδεος οὐρανίου μοῖραν ἔχοιμι ἄναξ.

ΘΡΗ

ΤΟΥ ΑΥΤΟΥ ΘΡΗΝΟΣ ΔΙΑ ΤΩΝ ΑΥΤΟΥ ΜΟΧΘΩΝ, ΚΑΙ πρὸς Χριστὸν δέησις περὶ λύσεως τοῦ αὐτοῦ βίου.

(τε
ΓΑῖα φίλη, καὶ πόντε, πάτρης πέδον, ἀλλοδαπῆς
Καὶ νεότης, πολιήτε βίου δύσι, καὶ προρέοντες
Μῦθοι, μόχθε περισσὲ, καὶ ὃς τέκε πνεῦμα φαεινὸν,
Καὶ πόλιες, σκόπελοί τε ἐμὸν σκέπας, ὧν διὰ πάν(των
Ἤλυθον, ἰσχανόων Χριστοῦ θεότητι πελάσσαι,
Πῶς μοῦνος τρηχεῖαν ἔβην ὁδὸν ἔνθα καὶ ἔνθα;
Στρωφῶν ἀργαλέοιο βίου τύπον· οὐδ' ἐδυνάσθην
Οὐδ' ὅσον ἔνποτ' ἐλαφρὸν ἐπὶ χθονὸς ἴχνος ἐρεῖσαι,
Ἀλλ' αἰεί με μόγοισι μόγοι πέμπουσι κακοῖσιν.
Ὦ σοφίη, σὺ δίδαξον ὅθεν τόσον ἄχθος ἔμοιγε.
Πῶς μόγος εὐσεβέεσσι, καὶ οὐ μόγος ὀλλυμένοισιν;
Ἦ ῥά τις ἀμπλακίης ποινὴ τάδε; ἦ ῥα βίοιο
Ἄνθρακες ὡς χρυσοῖο καθαιρομένου χοάνοισιν;
Ἦ ῥά μ' ὁ λυσσώδης καὶ βάσκανος οἷά τιν' Ἰὼβ
Ἐς δῆριν καλέει; σὺ δ' ἀλείφατι σύν με παλαισῶν
Τρίψας, εὖτε παροιθε μέγαν Γυμνοῖς ἐπὶ ἀγῶνα
Ὤσκεν ἀεθλεύσαντι γέρας, καὶ κῦδος ὀπιάσσης.
Ταῦτα μὲν αὐτὸς ἄναξ οἶδας λόγε. καὶ γὰρ ἅπαντα
Κόσμον ἄγεις, μεγάλοισι λόγοις κρυπτοῖσιν ἑλίσ-
Ὧν ὀλίγη τις πάμπαν ἐς ἡμέας ἔρχεται αὐγή (σων

Πηλὸν ἔτ' εἰλυμένους, καὶ ὄμματα νωθρὰ φέροντας.
Αὐτὰρ ἐγὼ κέκμηκα βίῳ, τυτθὸν δ' ἐπὶ γαίης
Ἆσθμα φέρω, πολλῆσιν ἐλαυνόμενος κακότησι,
Δυσμενέων, φιλίων τε, τὸ καὶ περιώσιον ἄλγος.
Τούνεκεν αἰάζω. πίπτω δ' ὑπὸ γούνασι σεῖο.
Δὸς λῦσιν βιότοιο νεκρῷ σέο. δὸς καμάτοιο
Ἀμπαυσιν, ζωῆς δέ μ' ἐλαφροτέρης ἐπίβησον,
Ἧς χάριν ἀχαλόω καὶ κήδεα μυρί' ἀνέτλην
Ἀγγελικοῖς δὲ χοροῖσι φέρων πελάσσας ὁδίτην
Οὐρανίου πυλεῶνος, ὅθι κλέος ἀστράπτοντος
Τρισσοῖς ἐν φαέεσσιν ἑνὸς μεγάλοιο θεοῖο.

ΠΡΟΣ ΕΑΥΤΟΝ ΚΑΤΑ ΠΕΥΣΙΝ
καὶ ἀπόκρισιν

Ποῦ δὲ λόγοι πτερόεντες; ἐς ἠέρα. ποῦ νεότητος
Ἄνθος ἐμῆς; διόλωλε. τὸ δὲ κλέος; ᾤχετ' ἄϊστον.
Ποῦ σθένος εὐπαγέων μελέων; κεῖνο νοῦσος ἔκαμψε.
Ποῦ κτῆσις καὶ πλοῦτος; ἔχει θεός. ἄλλα δ' ἀλιτρῶν
Ἁρπαλέαις παλάμῃσι πόρε φθόνος. οἱ δὲ τοκῆες,
Ἡ δὲ κασιγνήτων ἱερὴ δυὰς, ἐς τάφον ἦλθον.
Μούνη μοι πάτρη περιλείπετο. ἀλλ' ἄρα καὶ τῇ
χό: ὑπὸ τῶν τέκνων ἐπιζητέ νος Ὄρσας οἶδμα κελαινὸν ὁ βάσκανος ἤλασε δαίμων
Καὶ νῦν ξεῖνος, ἔρημος, ἐπ' ἀλλοτρίης ἀλάλημαι
Ἕλκων ζωήν τε λυπρὴν, καὶ γῆρας ἀφαυρὸν,
Ἄθρονος, ἀπτολίεθρος, ἄπαις, τεκέεσσι μεμηλὼς,

Ζώων

Ζώων ἦμαρ ἐπ' ἦμαρ ἀειπλανέεσσι πόδεσσι.
Ποῖ ῥίψω τόδε σῶμα; τί μοι τέλος ἀντιβολήσει;
Τίς γῆ; τίς δὲ τάφος με φιλόξενος ἀμφικαλύψει;
Τίς δ' ὄσσοις μινύθουσιν ἐμοῖς ἐπὶ δάκτυλα θήσει;
Ἢ ῥά τις εὐσεβέων Χριστοῦ φίλος; ἢ ῥα κάκιστος; (δῶν.
Ταῦτα μὲν αὔρα φέροι. τυτθῆς φρενὸς ἥδε μερι-
Εἴτε τάφῳ σώσει τις ἐμὸν δέμας, ἄπνοον ἄχθος,
Εἴτε καὶ ἀκτερέϊστον ἕλωρ θήρεσσι γένοιτο,
Θήρεσιν, ἠὲ κυνέσσιν ἑλώριον, ἢ πετεηνοῖς·
Εἰ δ' ἐθέλεις, πυρίκαυστον ἐς ἠέρα χείρεσι πάσσοις,
Ἠὲ κατὰ σκοπέλων μεγάλων ῥίψειας ἄτυμβον,
Ἢ ποταμοῖσι πύθοιτο, καὶ ὑετίῃσι ῥοῇσιν.
Οὐ γὰρ ἄϊστος ἐγὼ μόνος ἔσσομαι, οὐδ' ἀσυνάκτος.
Ὡς ὄφελον. πολλοῖς τόδε λώϊον. ἀλλ' ἅμα πάντας
Ὕστατον ἦμαρ ἄγει περάτων ἄπο νεύμασι θείοις,
Εἴπου καὶ ἀποδίη τις, ὀλωλότα δ' ἄψεα νύσσῳ.
Ἓν δὲ τόδ' αἰάζω καὶ δείδια βῆμα θεοῖο,
Καὶ ποταμοὺς πυρόεντας, ἀφεγγέα τ' αἰνὰ βέρεθρα.
Χριστὲ ἄναξ, σὺ δέ μοι πάτρη, σθένος, ὄλβος, ἅπαντα
Σοὶ δ' ἄρ ἀναψύξαιμι βίον καὶ κήδε' ἀμείψας.

ΠΕ-

ΠΕΡΙ ΤΗΣ ΤΟΥ ΕΚΤΟΣ ΑΝ-θρώπου εὐτελείας.

Τίς γενόμην; τίς δ' εἰμί; τί δ' ἔσσομαι; οὐ μὲν δηρόν;
Πῆ δὲ φέρων στήσεις πλάσμα μέγ' ἀθάνατε;
Εἴ τι μέγ'. ὡς μὲν ἔγωγε οἴομαι, οὐδὲν ἐόντες,
Ὀφρὺν μαψιδίως τείνομεν ἡμέριοι·
Εἰ τόδε μοῦνον ἔοιμεν, ὅσον πλεόνεσσι πέφανται,
Ζωῆς δ' ὀλλυμένης, μηδὲν ἔχοιμι πλέον.
Πόρτις μὲν διέλυξεν ἐὸν κευθμῶνα τεκούσης,
Καὶ σκαίρει, γλυκερόν τ' οὖθαρ ἀνακραδάει.
Καὶ τελετὴς ζυγὸν ἦρε καὶ εἴρυσεν ἄχθος ἀπήνης,
Αὐχένα δ' αὐχενίῳ καρτεῖ μίξε μέγαν.
Νεβρὸς δ' αἰολόδερμος, ἐπὴν διὰ γαστρὸς ὀλισθῇ,
Αὐτίκα μητρὸς ἑῆς πὰρ ποδὶ θῆκε πόδα,
Φεύγει δ' ὠμοβόρους τε κύνας, καὶ ἵππον ἐλαφρὸν,
Καὶ λόχμης πυκινῆς κεύθεται ἐν λαγόσιν.
Ἄρκτοι δ', οὐλομένων τε συῶν γένος, ἠδὲ λέοντες,
Τίγρις τ' ἠνεμόεις, παρδαλίων τε μένος,
Αὐτίκα φρίξεν ἔθειραν ἐπὴν κε σίδηρον ἴδηται,
Φρίξεν, καὶ κρατεροὺς ἅλτ' ἐπὶ θηρολέτας.
Ἄρτι δὲ τ' ἄπτερος ὄρνις, εὔπτερος οὐ μὲν δηρὸν
Ἠέρα δινεύει πολλὸν ὕπερθε δόμου.
Ξουθὴ δ' αὖτε μέλισσα λίπε σπέος· οἶκον ἔτευξεν
Ἀντίθετον, γλυκεροῦ πλῆσε γόνοιο δόμον.

Παι

Πάντα δέ τ' εἴαρός ἐστιν ἑνὸς πόνος, αὐτομάτη δὲ
  Πᾶσι τροφὴ, γαίης δαῖτα χαριζομένης.
Οὐ πόντον τέμνουσιν ἀπλωέα, οὐκ ἀρόωσιν,
  Οὐ ταμίαι κείνοις, οὐδὲ κυπελλοφόροι.
Καὶ πτερὸν ὄρνιν ἔθρεψε ταχὺν, καὶ ἄγκεα θῆρα,
  Βαιὰ πονησαμένοις, φροντὶς ἐπηματίη.
Λὶς δὲ μέγας καὶ θῆρα τὸν ἔκτανεν, ὥσπερ ἄκουσα,
  Λάψας, δαιτὸς ἑῆς λείψαν' ἀποσυγέει.
Ἄλλοτε μὲν δαίσαθ' ἑτερήμερος, ἄλλοτε δ' αὖτε
  Λάψε ποτὸν βειαρῶς, γαστέρι μέτρα φέρων.
Τοσσάτιον κείνοισιν ἀμοχθότερος βίος ἐστὶ,
  Πέτρη τε κλαδέων, οἶκος ἀεὶ σχέδιος.
Ἀρτεμέες, κρατεροὶ, περικαλλέες, ἢν δὲ δαμάσσῃ
  Νοῦσος, νηπενθεῖς ἄλκιμον ἆσθμα λίπον.
Οὐ γοεροῖς μελέεσσι περισταδὸν ἄλλοθεν ἄλλος
  Μύρονται' οὐδὲ φίλοι κέρσαν ἄπο πλοκάμους.
Εἴπω μείζονα μῦθον ἀταρβέες ἔνθά δ' ὄλοντο,
  Κοὐδὲ ὑποτρομέει θὴρ κακὸν, εὖτε θάνῃ,
Ἄθρει καὶ μερόπων δειλὸν γένος, ὥς κε τόδ' εἴπῃς,
  Ἦ ῥ' ἐτεὸν μερόπων οὐδὲν ἀκιδνότερον.
Ῥοιῆς μὲν γόνος εἰμὶ, μόγῳ δέ με γείνατο μήτηρ.
  Ἐθρέφθην πολλοῖς, καὶ συγγενέοις καμάτοις.
Ἀγκὰς ἔχεν μήτηρ με, γλυκὺν πόνον, αὐτὰρ ἔπειτα
  Γαῖαν ἐπετρεόμην, ἄλγεσι τειρόμενος.
Ἔνθεν ἔβην τετράκωλος ἐπ' οὔδεος. ἔνθεν ἀέρθην
  Ἴθμασιν ἐν τρομεροῖς κλεπτόμενος παλάμαις.

Ἔνθεν

Ἔνθεν νοῦ ὑπέλαμπον ἀναυδέος ἴχνεσι φωνῆς,
Ἔνθεν δ' αὖ μύθων δάκρυσ' ὑφ' ἡγεμόσιν.
Εἰκοσέτης συνάγειρα μένος, καὶ πήμασι πολλοῖς
Πρόσθεν ὑπαντίασα, ὥστις ἀεθλοφόρος.
Ἀλλὰ μὲν ἔστιν ἔμοιγε τὰ δ' ᾤχετο, τοῖς δὲ μογή-
Εὖ τόδ' ἐμὴ ψυχὴ ἴσθι περῶσα βίον, (σας,
Ὁλκὸν ἀπιστότατον, ῥόον ἄγριον, οἶδμα θαλάσσης,
Τῇ καὶ τῇ πυκινοῖς πνεύμασι βρασσόμενον.
Πολλὰ μὲν ἀφραδίῃσι τινάσσομαι, ἄλλα δὲ δαί-
Ζωῆς ἡμετέρης ἤγαγεν ἀντίπαλος. (μων
Εἰ γάρ κεν ὅσσα τερπνά, καὶ ὁππόσα λυγρὰ βίοιο
Ἀντιταλαντεύοις μέσσα τάλαντ' ἐρύων,
Πολλῶν κεν βρίθουσα κακῶν ἐπὶ γαῖαν ἵκοιτο
Πλάστιγξ, ἡ δ' ἀγαθῶν, ἔμπαλιν ὕψι θέοι.
Δῆρις, πόντος, ἄρουρα, μόρος, ληΐστορες ἄνδρες
Κτῆσις, δασμογράφοι, πράκτορες, εὐρυβόαι,
Ῥητῆρες, βίβλοι τε, δικασπόλοι, ἀρχός, ἀλιτρός,
Πάντα τάδ' ἐπὶ βίου παίγνια λευγαλέου.
Δέρκεο· καὶ ὅσα τερπνά, κόρος, βάρος, ᾆσμα, γέλω
Τύμβος ἀεὶ πλήρης μυδαλέων νεκύων, (τες
Ἕδνα, γάμος, γάμος ἄλλος, ἐπὴν ὁ πρόσθεν ὄλη
Μοιχοί, μοιχολέται, παῖδες ὕποπτον ἄχος, (ται
Κάλλος, φίλτρον ἄπιστον, ἀτάρβητον κακὸν αἶσχος
Φροντίδες εὐτεκνίης ἄλγεα δυστεκνίης,
Πλοῦτος καὶ πενίη δισσὸν κακόν, ὕβρις, ἀνίη,
Σφαῖρα νέων παλάμαις ἀνταποπεμπομένη.

Ταῦ-

Ταῦτ' οὖν εἰσορόων, φρένα δάπτομαι, εἴ τις ἄριστον
    Οἴεται, ᾧ τὸ κακὸν πλεῖον ἀρειοτέρου.
Οὐ δακρύεις αἴων, ὁπόσ' ἄλγεα καὶ προτέροισιν;
    Οὐκ οἶδ' εἰ δακρύσεις, ἢ γελάσεις αἴων.
Ἄμφω καὶ πινυτοῖσιν ἐφήρμοσε ταῦτα πάροιθεν,
    Τῷ μὲν, κλαυθμὸς ἔην ταὐθάδε, τῷ δὲ, γέλως.
Ὡς Τρῶες, καὶ Ἀχαιοὶ ἐπ' ἀλλήλοισι θορόντες,
    Δῄουν ἀλλήλους εἵνεκα πορνιδίου.
Κουρῆτές τ' ἐμάχοντο καὶ Αἰτωλοὶ μενεχάρμαι,
    Ἀμφὶ συὸς κεφαλῇ, θειξί τε χοιρειδίαις.
Αἰακίδαι μέγ' ἄεισμα, θανὸν γὲ μὲν, ὃς μὲν ἐν ἐχθ-
    Μαινομένῃ παλάμῃ, αὐτὰρ ὃ, μαχλοσύνῃ. (ροῖς
Ἀμφιτρυωνιάδαο μέγα κλέος· ἀλλὰ δαμάσθη
    Εἵματι σαρκοφάγῳ κεῖνος ὁ παντολέτης.
Κῦροί τε Κροῖσοί τε κακὸν μόρον οὐχ ὑπάλυξαν,
    Οὐδὲ μὲν ἡμέτεροι χθιζὸν ἄνακτες ὅσοι.
Καί σε Δρακοντιάδη μένος ἄσχετε ὤλεσεν οἶνος,
    Ἡνίκ' Ἀλέξανδρε γαῖαν ἐπῆλθες ὅλην.
Τί πλέον ἐν φθιμένοισιν; ἴη κόνις, ὀστέα μοῦνα,
    Ἥρως Ἀτρείδης, Ἶρος ἀλητοβόρος.
Κωνσταντῖνος ἄναξ· θεράπων ἐμὸς, ὅς τις ἄνολβος,
    Ὅς τις ἐρικτήμων. εἷς πλεόνεσσι τάφος.
Καὶ τὰ μὲν ἐνθάδε, τοῖα. τὰ δ' ἄλλοθι, τίς κεν ἐνίσποι
    Ὁππόσα τοῖς ἀδίκοις ὕστατον ἦμαρ ἄγει;
Πῦρ βρομέον, σκότος αἰνὸν, ἀπόπροθι φωτὸς ἐοῦσι,
    Σκώληξ, ἡμετέρης μνῆσις ἀεὶ κακίης.

Λώϊον, εἰ βιότοιο πύλας κακὰ μὴ σὺ περήσας.
  Εἰ δ' ἐπέρησας, ὅλος θήρεσιν ἶσα λύθης.
Η ὅτι κἀνθάδ' ἔχεις τόσ' ἄλγεα, καὶ μετόπισθεν
  Ποινὴ χειροτέρη τῶν, ὅσα ἐνθάδ' ἔχεις.
Ποῦ μοι πρωτογόνοιο μέγα κλέος; ὤλετ' ἐδωδῇ.
  Οὐ Σολομὼν πινυτός; ἀλλὰ γυναιξὶ δάμη.
Ποῦ δὲ δυωδεκάδος συναρίθμιος ἦν, ὅτ' Ιούδας
  Κέρδεος ἀντ' ὀλίγου ἀμφεχύθη σκοτίην;
Χριστὲ ἄναξ λίτομαί σε κακῶν ἄκος αὐτίκ' ὀπάζοις,
  Ενθεν ἀναστήσας σῷ θεράποντι μάκαρ.
Εν μόνον ἀνθρώποισι καλὸν καὶ ἔμπεδόν ἐστιν,
  Ελπίδες οὐράνιαι, ταῖς ὀλίγον τι πνέω.
Τῶν δ' ἄλλων ἀγαθῶν πουλὺς κόρος. ὅσ' ἐπὶ γαίης
  Σύρετ', ἐφημερίοις πάντα λιπεῖν ποθέω.
Πάτρην, ἀλλοδαπήν τε, θρόνους, καὶ ἀπόθρονον εὖχος,
  Εγγύθεν, ἀλλοτρίους, δυσσεβέας, κακίους,
Αμφαδίους, λοχόωντας, ἀβάσκανον ὄμμα φέροντας,
  Αὐτοφόνῳ κακίῃ ἔνδοθι τηκομένους.
Αλλοις τερπνὰ βίοιο· ἐγὼ δὲ πρόφρων ὑπαλύξω.
  Οἴ μοι, τοῦ δὲ βίου πήμασι μακροτέρου.
Μέχρι τίνος κόποισι παρέξομαι; ὡς ἅπαν ἐσθλὸν
  Ζωῆς ἡμετέρης, δίσομός ἐστι χάρις,
Δέξασθαι, ῥίψαι τε μετρούμενον ἦμαρ ἐπ' ἦμαρ.
  Βαιὸν λαιμὸς ἔχει, τ' ἄλλα δὲ πάντ' ἀμάρη.
Χεῖμα πάλιν, θέρος αὖθις, ἀμοιβαδὸν εἶαρ, ὀπώρη,
  Ηματα, καὶ νύκτες, φάσματα δισσὰ βίου.

Οὐ-

Οὐρανὸς, αἶα, θάλασσα, νεώτερον οὐδὲν ἔμοιγε
 Οὔθ' ὅσα πηκτὰ πέλει, οὔθ' ἃ περιτρέπεται.
Τῶν κόσμος ἄλλον ἔμοιγε βίον καὶ κόσμον ὀπάζοις·
 Τῶν μογέων, περιφέρων πήματα πάντα φέρω.
Αἶ θάνον, εὖτέ με μητρὸς ἐνὶ σπλάγχνοισιν ἔδησας,
 Εὐθὺς ἐμοὶ σκοτίῃ δάκρυον ἀρχομένῳ.
Τίς βίος; ἐκ τύμβοιο θορὼν, ἐπὶ τύμβον ὁδεύω.
 Ἐκ δὲ τάφοιο, πυρὶ θάψομ' ἀπηλεγέως.
Αὐτὸ δ' ὅσον πνείω, ποταμοῦ ῥόος ὠκὰ θέοντος,
 Αἰὲν ἀπερχομένου, ἐρχομένου τ' ὄπιθεν,
Ἑστὸς οὐδὲν ἔχοντος· ὅλον κόνις ὄμματ' ἐμεῖο
 Βάλλησ', ὡς κε θεοῦ τῆλε πέσοιμι φαέων.
Τοίχοις δ' ἀμφαφόων, καὶ ἀλώμενος ἔνθα καὶ ἔνθα,
 Ζωῆς τῆς μεγάλης ἐκτὸς ἔχοιμι πόδα.
Τολμήσω τινὰ μῦθον ἐτήτυμον, ὡς ῥα θεοῖο
 Παίγνιόν ἐστι βροτὸς, τῶν ἔν, ὅσα πολίων,
Ἄλλο περίσκοπον ὑπερθεν, ὃ χεὶρ κάμεν. ἣν δ' ἄρ' ἀείρῃ
 Ἄμμι, ἐξαπίνης ἐξεφαίνω ἕτερος. (θῆ
Τοῖος ἅπας μερόπων δειλῶν βίος, οἷσι μέμηλεν
 Ἐλπὶς ὀνειραίη. ταῦτ' ἔχετ' εἰς ὀλίγον.
Αὐτὰρ ἐγὼ Χριστοῖο δεδραγμένος, εὖποτε λήξω
 Δεσμῶν τοῦδε βίου λυόμενος χθονίου.
Καὶ γὰρ διπλόος εἰμί. τὸ μὲν δέμας ἔνθεν ἐτύχθη,
 Τοὔνεκα καὶ νεύει πρὸς χθόνα τὴν ἰδίην.
Ψυχὴ δ' ἔστιν ἄημα θεοῦ, καὶ κρείσσονα μοίρην
 Αἰὲν ἄγαν ποθέει τῶν ὑπερουρανίων.

Ὡς πηγῆς ῥόος ἐστὶν ἐπίδρομος, αἰθόμενον δὲ
Πῦρ ὁδὸν οἶδε μίην ἄτροπον, ἄλλετ' ἄνω,
Ὡς μέγας ἐστὶ βροτὸς, καὶ ἄγγελος· ἣν ἀπαίξας,
Ὥσπερ ὄφις στικτοῦ γήραος ἔνθεν ἴει.
Ὦ πάλλεσθ' ἱερῆες. ἐγὼ θάνον. ὦ καὶ ἀλιτροὶ
Γείτονες, οὐκέτι με φρίξετε, ὡς τὸ πάρος.
Αὐτοῖς μὲν μέγαν οἶκον ἀειζώοντος ἄνακτος
Φράσσετε, αὐτὰρ ἐγὼ πάντα λιπὼν, ἓν ἔχω,
Σταυρὸν ἐμῆς ζωῆς φανὸν ξύλον. ἣν δ' ἄρ' ἀερθῶ
Ἔνθεν, καὶ θυέων ἅψομ' ἐπουρανίων,
Τοῖς φθόνος οὐ πελάει, κρυπτὸν κακὸν, εἰ θέμις εἰπεῖν,
Πηνίκα καὶ φθονερῶν ἄφθονος εὔξομ' ὕπερ.

ΚΑΤΑ ΤΟΥ ΠΟΝΗΡΟΥ.

Φεῦγ' ἀπὸ τᾶς γραμμῆς ὦ βάρβαρε, μή με δίοχλει
Φεῦγε πονηρὸς ἅπας, Χριστὸς ἐμοὶ γράφεται.
Μή με φύγῃ τὸ νόημα συνηγμένον· ἔρρετε πάντες,
Οὓς μὴ Χριστὸς ἄγει τῆλ' ἀπὸ τῶν χθονίων.

ΠΕΡΙ ΤΟΥ ΠΡΟΣ ΘΕΟΝ πόθου.

Μῆτερ ἐμὴ, τί μ' ἔτικτες, ἐπεὶ πολύμοχθον ἔτικτες;
Τίπτε με τῷδε βίῳ δῶκας ἀκανθοφόρῳ,
Εἰ μὲν δὴ σὺ πέρησας ἀκηδέα ὥς τις ἄσαρκος,

Θαῦ-

Θαῦμα μέγ'· εἰ δ' ἐδάμης, οὐ φιλέουσα τέκες.
Ἄλλην μὲν τ' ἄλλος τις ἀνὴρ βιότοιο κέλευθον
Τέμνει γαιομόρος, αὐτὰρ ὁ ποντοπόρος.
Θηρολέτης ἄλλος τις, ὁ δ' ἐγχεῖ χεῖρα κορύσσων·
Καί τις ἀοιδοσύνης ἴδρις, ὅδ' ἀθλοφόρος.
Αὐτὰρ ἐμοὶ, θεός ἐστι λάχος· καὶ ἄλγεα πολλὰ,
Καὶ νούσῳ στυγερῇ τῇ δ' ὀλιγοδρανέειν.
Δάπτε με, δάπτε μ' ἀλιτρὲ περὶ χρόνον, αὐτίκα γὰρ
Λείψω σὺν χαλεποῖς πήμασι γηθόσυνος. (σε
Μῆτερ ἐμὴ, τί μ' ἔτικτες, ἐπεὶ θεὸν οὔτε νοῆσαι
Οὔτε φράσαι δύναμαι τόσσον, ὅσον ποθέω;
Βαιὴ μέν τις ἔμοι γε νόου περιέλαμψεν ὀπωπαῖς
Ἰσοφαοῦς τριάδος λάμψις ἐπουρανίης.
Τὸ πλεῖον δ' ὑπάλυξεν, ἔχω δ' ἄχος, ὡς στεροπήτις
Πρίν με φάους κορέσαι, ὦκα παρίπταμένη.
Εἰ δέ σε κεῖθεν ἔλοιμι φίλη τριὰς, οὐκέτι μητρὸς
Μέμψομ' ἐμῆς λαγόσιν. εἰς ἀγαθὸν γενόμην.
Ἀλλὰ σάω με, σάω με θεοῦ λόγε. ἐκ δέ με πικρῆς
Ἰλύος ἐξερύσας, ἐς βίον ἄλλον ἄγοις.
Ἔνθα νόος καθαρός σε φααίνετον ἀμφιχορεύει,
Μηκέθ' ὑπὸ σκιερῆς κρυπτόμενος νεφέλης

ΠΕΡΙ ΤΩΝ ΤΟΥ ΒΙΟΥ ΟΔΩΝ.

Τίς, πόθεν ἐς βίον ἦλθεν; ἔπειτα δέ με γαῖα καθέξει, Γρα. κόνιος
Τίς πάλιν ἐκ κόνεως ἔσσομ' ἀνιστάμενος;

Πῆ δὲ φέρων σῆσεις με θεὸς μέγας; ἦ ῥα σαώσεις
  Ἔνθεν ἀναστήσας εὔδιον ἐς λιμένα;
Πολλαὶ μὲν βιότοιο πολυτλήτοιο κέλευθοι.
  Ἄλλη δ' ἀλλοίοις πήμασι συμφέρεται.
Κ' οὐδὲν ἐν ἀνθρώποισι καλὸν, κακότητος ἄμικτον.
  Εἴθε δὲ μὴ τὰ λυγρὰ πλείονα μοῖραν ἔχει.
γρ. ὄλβος μὲν γὰρ ἄπ. ὁ θῶκος δ' ὀφρὺς — Ὁ πλοῦτος μὲν ἄπιστος, ὁ δὲ θρόνος, ὀφρὺς ὀνείρων.
  Ἀρχέπολις δὲ μόρος, ἡ πενίη δὲ πέδη·
Κάλλος δ' ἀστεροπῆς, τυτθὴ χάρις· ἡ νεότης δὲ,
  Βρᾶσμα χρόνου πολιὴ, λυπρὰ δύσις βιότου.
γρ. ἀέρος κλέ- — Οἱ δὲ λόγοι, πτερόεντες, ἀὴρ, κλέος· αἷμα παλαιὸν,
  Εὐγενέται. ῥώμη, καὶ συὸς ἀγροτέρου.
Ὑβριστὴς δὲ κόρος· δεσμὸς, γάμος· εὐτεκνίη δὲ
  Φροντὶς ἀναγκαίη· δυστεκνίη δὲ, νόσος.
Αἱ δ' ἀγοραὶ, κακίης μελεδήματα· ἠρεμίη δὲ
  Ἀδρανίη. τέχναι, τῶν χαμαὶ ἐρχομένων.
Στυφνὴ δ' ἀλλοξίη μᾶζα. τὸ δὲ γαῖαν ἀρόασθαι,
  Μόχθος. παντοπόρον τὸ πλέον εἰν ἀΐδῃ.
Ἡ πάτρη δὲ βέρεθρον ἐόν." ξείνη δέ τ' ὄνειδος,
γρ. ξενίη — Πάντα μόρος θνητοῖς. ταῦτα δὲ πάντα γέλως,
Χνοῦς, σκιὰ, φάσμα, δρόσος, πνοιὴ, πτερὸν, ἀτμὶς, ὄνειρος,
  Οἶδμα, ῥόος, νηὸς ἴχνιον, αὖρα, κόνις,
Κύκλος ἀειδίνητος, ὁμοίια πάντα κυλίνδων,
  Ἑστὼς, τροχάων, λυόμενος, πάγιος.
Ὥραις, ἤμασι, νυξὶ, πόνοις, θανάτοισιν, ἀνίαις,
  Τερπωλῇσι, νόσοις, πτώμασιν, εὐδρομίαις.

Καὶ

Καὶ τόδε σῆς γενέτορ σοφίης λόγε, ἀστατέοντα
Πάντα πέλειν, στασίμων ὥς κεν ἔχοιμεν ἔρον.
Πάντα νόου πτερύγεσσιν ἐπέδραμον, ὅσσα παλαιὰ,
Ὅσσα νέα. θνητῶν δ' οὐδὲν ἀκιδνότερον.
Ἓν μόνον ἀνθρώποισι καλὸν, καὶ ἔμπεδόν ἐστιν,
Ἔνθεν ἀφορμᾶσθαι, σταυρὸν ἀειρομένοις,
Δάκρυά τε στοναχαί τε, νόος θείοισι μεμηλὼς,
Ἐλπὶς, καὶ τριάδος λάμψις ἐπουρανίης
Μιγνυμένης καθαροῖσι, χοὸς λύσις ἀφραδέοντες.
Εἰκόνος ἀφθορίη, τὴν λάχομεν θεόθεν·
Ζώειν τ' ἀλλότριον ζωῆς βίον· ἀντὶ δὲ κόσμου
Κόσμον ἀμειβομένοις, ἄχθεα πάντα φέρειν. γρ. παρερχομένοις.

ΘΡΗΝΟΙ.

Αἲ αἲ τῶν παθέων. τί πτ' ἤλιτον; ἦ ἄρα μοῦνος
Σῶν καθαρῶν θυέων ἅπτομαι οὐχ ὁσίως;
Ἤ με πυροῖς παθέεσσι καθαίρεις, ἢ τῦφον ἄλλων
Ἴσχεις, ἤ με φέρεις γυμνὸν ἐπ' ἀντιπάλῳ.
Ταῦτα μὲν αὐτὸς ἄναξ νωμᾷς λόγε. αὐτὰρ ἔγωγε
Βαιὸν ὑπὲρ γαίης ἆσθμα φέρω πύματον.
Δάκρυα πάντ' ἐκένωσα, γόος δέ μοι ἔργον ἐτύχθη·
Μέχρι τίνος παλάμαις κείμεθ' ἐν ἀσεβέων;
Ἀλλὰ μάκαρ στῆσόν με. καὶ εἰ κακὸν, ἀλλ' ἱερῆα,
Μή τις ὀλισθήσῃ πήμασιν ἡμετέροις.

Ὤλετο εὖχος ἐμοί γε, καὶ ἄλγεα σαρκὸς ὄλοιτο
Οἴχετ' ἀναστασίη, λῆγε καὶ ἀμπλακίη.
Αἲ αἲ δάκρυά μοι καταλείβεται, ἔνδοθεν ἦτορ
Παχνοῦται. διπλῆν νοῦσον ἐπίσχες ἄναξ.
Νοῦσον ἐπίσχες ἄναξ. διολώλαμεν. ἦ ἄρα μούνῳ
Οἶκτος ἀπεκλείσθη σῷ λάτρι Γρηγορίῳ;
Ἢ στῆσον κακότητα καὶ ἵλαθι σῷ θεράποντι
Ἢ τὸ δίδου, θυμῷ τλήμονι πάντα φέρειν.

ΕΙΣ ΕΥΓΕΝΗ ΔΥΣΤΡΟΠΟΝ.

Αἵματος ἐξ ἀγαθοῦ τις, ἅπαν κακόν. ἀνδρὶ γένος μὲν
Οὐ τὸ εὐπατέρειον, τ' ἄλλα δὲ θαυμασίων,
Περιέφερε τοὺς προγόνους. καὶ ὃς μάλα ἡδὺ γελάσας
Εἶπε λόγον μνήμης ἄξιον, ὡς τὸ γένος
Ἐστὶν ὄνειδος ἐμοί γε, γένους δὲ σύ. τοῦτο φύλασσε,
Ὡς μὴ τῆς ἀρετῆς ἄλλο τι πρόσθεν ἄγοις.
Εἴ σου τις τὸ δυσειδὲς ἐκερτόμησεν, ἢ τὸ δυσῶδες,
Εἶπες αὖ ὡς ὁ πατὴρ ἦν καλὸς, ἢ μυρίπνους;
Εἰ δέ σε τις ὡς δειλὸν ἐπέσκωπτεν, καὶ ἄνανδρον,
Ὡς πρόγονοι πολλὰς εἷλον ὀλυμπιάδας;
Οὕτως εἴ σε κακόν τις ἐλέγχει καὶ ἀνόητον,
Μή μοι τοὺς πατέρας, μηδὲ τὰ νεκρὰ λέγε.
Χρυσόδετον κιθάρην τις ἔχων, ἔκρεξε κάκιστον·
Ἄλλος ἀπ' εἰκαίης, δ' εὐγενὲς ἧκε μέλος.
Τίς τούτων ὦ λῷστε ἀμείνων σοι κιθαριστής;

Ὅς

Ὃς σώζει τεχνικοῖς κεράσμασιν ἁρμονίας.
Ἀλλὰ σὺ χρυσῶν μὲν πατέρων ἔφυς, ὥς σε λέγουσιν·
Αὐτὸς δ' οὐκ ἀγαθός· εἶτα μέγα φρονέεις;
Τοῦτο λαμπρὸν σοι γένος ἐστὶν, οἱ προπάλαιοι
Νεκροὶ, καὶ μύθων πλάσματα, καὶ γραΐδες;
Παίζεις· πρὸς σὲ δ' ἔσω γε βλέπω μόνον, εἰ δίκαιός τις
Ἢ κακός. ἡ δ' ἀρχὴ, πηλὸς ἅπαντες ἴσος.
Δέρματα πάντες ὅμοια· φυσώμεθα δ' οἱ μετέωροι,
Πλούτῳ καὶ δόξῃ, καὶ πατράσι μεγάλοις. πλούτῳ
Ὥστε τί μοι τὰ περισσὰ, πάτερ, γένος; οὔτε με μῦθοι
Τέρπουσ', οὔτε τάφοι. ἀλλ' ἀγαθὲ πρὸς σὲ βλέπω. ἴσ· ἀλλ'
Εἷς χοῦς πάντες. ἑνὸς πλάστου γένος. ἡ δὲ τυραννὶς ἀγαθ' ἐς
Εἰς δύο τὰ θνητῶν ἔσχισεν, οὐχὶ φύσις. σὲ
Δοῦλος ἐμοὶ πᾶς σκαιός· ἐλεύθερος, ὅστις ἄριστος.
Εἰ δὲ σὺ τῦφον ἔχεις, τοῦτο τί πρὸς τὸ γένος;
Ἡμιόνοις τί πατήρ; πόθεν ὁ κάνθων ἐστὶν ἔνδοξος;
Οὐδέν. τίς δέ τ' ὄνοις δόξα παρ' ἡμιόνων;
Οἱ δ' ἀστοὶ, τίκτουσι, καὶ οὓς ῥίπτουσι νεοσσούς.
Ὥστε τί μοι πατέρας, σαυτὸν ἀφεὶς, σὺ λέγεις;
Κρεῖσσον ἄριστον ἐόντα κακὸν γένος, ἠὲ κάκιστον
Ἔμμεναι ἐσθλογενέτην. καὶ ῥόδον ἐκ τραχέος
Ἐβλάστησε φυτοῖο, ῥόδον μὲν, εἰ δ' ἀπὸ γαίης
Ἦλθες ἄκανθ' ἁπαλῆς, τοῦ πυρὸς ἄξιος εἶ.
Πῶς σὺ κάκιστος ἐὼν, τόσον φρονέεις προγόνοισιν;
Ὦ κάνθων μυλικὲ, ἱππῷον ὕψος ἔχων.

Εἷς

ΕΙΣ ΤΗΝ ΝΟΣΟΝ.

Ἤλυθες αὖθις ἔμοιγε δολόπλοκε, ὡς ἐνόηθης,
  Βένθος ἐμῆς κραδίης ἔνδοθι βοσκόμενος.
Καὶ πολλοῖς κρατεροῖς τε τινάγμασι τοῦδε βίοιο
  Εἰκόνα τὴν ἱερὴν γνὺξ βαλέειν ποθέων
Σαρξὶν ἀσθενέεσσιν ἐνήλαο, καί μ' ἐδάϊξας
  Εἰς πόδας ἐκ κεφαλῆς, ῥεύματι δεσμὰ λύσας
Τῶν ξηρὴν ἐδίηνε θεὸς φύσιν, ὡς ἐκέρασσε
  Τῇ ψυχρῇ λιαρὴν κοσμογόνῳ σοφίῃ.
γρ. φυλάσσοι Ὥς κεν ἰσοστασίης δέμας ἄρτιον ἅμμα φυλάσσῃ
  Τὴν δὲ διχοστασίην καὶ βιότοιο φύγω.
Ἤλυθες ἀνδροφόνοισι νοήμασιν. ἐς δ' ἐμὲ τλῆμον
  Σῆς δνοφερῆς κακίης ἰὸν ἔχευσας ὅλον.
Οὐχ ἅλις ἦεν ἔμοιγε βαρύστονα γήραος ἕλκειν
  Ἄλγεα, καὶ σκοπέλων ἄχθεα ξεινακείων;
Ἀλλὰ μὲν καὶ στυγερὴ κατεδάσατο δάπτειρα νοῦσος
  Τηκεδανὴ μελέων, εἰς ἔτος ἐξ ἔτεος;
Τοῖσιν ἐπαγάζω, καὶ στείνομαι, ὡς ὅτε τις λῖς
  Ἄλκιμος ἐμπλεχθεὶς ἄρκυσι θηροφόνων.
Οὐ μύθων ποθέω σκιρτήματα, οὐκ ἐρατεινὴν
  Πᾶσιν ὁμιλικίην, οὔτε μὲν εὐθαλίην.
Οὐκ ἀγορὰς πολίων, οὐκ ἄλσεα, οὐδὲ λοετρὰ,
  Οὐδ' ὅσα τοῦ δολεροῦ ἄνθεα τοῦδε βίου.
Ταῦτα γὰρ οὐδὲ πάροιθεν ἐμοὶ φίλα, ἐξότε Χριστὸν
  Ἀγκασάμην, χθονίων τῆλ' ἀπανιστάμενος.

Αἰά-

Αἰάζω δ᾽ ὅτι με Χριστοῦ μεγάλοιο λέλοιπεν
Ὄμμα ζωοφόρον. ὦ μ᾽ ἦγον εἴποτ᾽ ἔην, χ. ὃ διὰ φροντίδος ἦν εἴ ποτε ἦν.
Ὅς με καὶ ἐν σπλάγχνοισιν ἁγνῆς κύδηνε τεκούσης,
Καὶ πάντων κρυερῶν ῥύσατο καὶ παθέων.
Αἰάζω λαοῖο θεόφρονος ἡνία ῥίψας,
Οὐ μὴν ἀπορρίψας, οὔτι δὲ χερσὶ φέρων.
Ὃς πρόσθεν μύθοισιν ἀγάλλετο ἡμετέροισιν
Ἡνίκ᾽ ἀπὸ γλώσσης τελεσὸν ἔλαμπε σέλας.
Νῦν γε μὲν ὡς λιπέμαστος ἐν ἀγκαλίδεσσι τεκού-
Νηπίαχος θηλὴν ἔσπασεν αὐαλέην (σης
Χείλεσι διψαλέοισι, πόθον δ᾽ ἐψεύσατο μήτηρ·
Ὡς ἄρ᾽ ἐμῆς γλώσσης λαὸς ἀποκρέμαται,
Ἰσχανάων πηγῆς πολλοῖς τοπάροιθε ῥεούσης,
Ἧς νῦν οὐδ᾽ ὀλίγην ἰκμάδα οὖατ᾽ ἔχει.
Ἄλλοι μὲν προχέουσι γλυκὺν ῥόον, οἱ δ᾽ ἀΐοντες,
Ἄχνυντ᾽. οὐ γὰρ ἑοῦ πατρὸς ἔχουσι λόγον.
Ποῦ μοι παννυχίων μελέων στάσις; οἷς ὑπέρδον
Τοὺς δὲ πόδας βεβαὼς ἔμπνοος, ὥς τε λίθος,
Ἢ μοῦνος Χριστῷ ξυνούμενος, ἢ σὺν ὁμίλῳ
Τέρψιν ἔχων ἱερῶν ἀντιθέτων μελέων. (ροιθε
Ποῦ καμπτῶν γονάτων γλυκερὸς πόνος, ὃν προπά-
Δάκρυα θερμὰ χέων, νοῦν σκοτίην συνάγων; χ. συνάγων ἐν νυκτὶ τὸν νοῦν ἀπὸ τῆς ἔξω περιπλανήσεως
Ποῦ δὲ πενητοκόμοι παλάμαι περὶ νοῦσον ἔπαυσαν;
Ποῦ τῆξις μελέων οἴχεται ἀδρανέων;
Οὐκέτι μὲν θυέεσσιν ἁγνοῖς ἐπὶ χεῖρας ἀείρω
Τοῖς μεγάλοις Χριστοῦ μιγνύμενος πάθεσιν.

Οὐκέ-

Οὐκέτι δ' ἀθλοφόροισι φίλην ἵστημι χορείην,
Εὐφήμοισι λόγοις τίμιον αἷμα σέβων.
Εὖρος δ' ἀμφὶ βίβλοισιν ἐμαῖς, μῦθοι δ' ἀτέλεστοι,
Οἷς τις ἀνὴρ δώσει τέρμα, φίλα φρονέων.
Πάντ' ἔθανε ζώοντι, βίος δέ μοι ἐστὶν ἀφαυρὸς,
Νηὸς ἀκιδνότερος, τὴν λίπον ἁρμονίαι.
Ἀλλ' ἔμπης, εἰ καί με βαρίστονε δαῖμον ἰαίνεις,
Οὔποτέ σοι κάμψω γουνατ' ἐμῆς κραδίης·
Ἀλλ' ἄζωστος, ἄκαμπτος, ἐμὴν ἐς μητέρα γαῖαν
Δύσομ'. ἔχει σκώληξ τὴν ὄφεως δαπάνην.
Τύπτε δορὴν, ψυχὴ δ' ἄρ' ἀνούτατος. εἰκόνα θείην
Ταρσήστῳ Χριστῷ, τὴν λάχον ἀνδροφόνε.
Καὶ γὰρ πειρασθεὶς πέδησας Ἰὼβ μέγαν, ἀλλ' ἐδαμά-
Ὥς μιν ἀεθλοθέτης ἐστεφάνωσε μέγας, (σθης.
Καὶ θῆκεν περίβωτον ἐφ' κηρύγματι νίκην,
Πάντα δ' ἔδωκεν ἔχειν διπλὰ, τά οἱ κεδάσας.
Τοῖος ἐνηείης Χριστοῦ νόμος, ἀλλά μ' ἄνωχθι
Ὀψέ περ ἀρτεμέειν, σὸς λόγος ἐστὶν ἄκος.
Λάζαρος ἐν νεκύεσσιν ἐγὼ νέος, ἀλλὰ βόησον,
Ἔγρεο, καὶ ζήτω σοῖσι λόγοισι νέκυς.
Λυσιμελὴς νέος εἰμὶ ὁ λέκτριος, ἀλλὰ βόησον;
Πήγνυσο, καὶ κλίνην βήσομαι ὕψι φέρων.
Σῶν κλέπτω θυσάνων παλάμαις ἄκος, ἀλλὰ ῥέε-
Αἷμα τὸ σ' ἴσχε τάχος σαρξὶ μιαινομέναις. (θρον
Σοὶ δ' ὑποκάμπτομ' ἔγω γε, τεὸν λάχος, ὡς Χανα-
Γυρὴν ἔχουσα δέμας, ἀλλ' ἀνάειρέ μ' ἄναξ. (ναία

Πόν-

Πόντος ἀΰω, σοὶ δ' ὕπνος ἔπι γλυκύς. ἀλλὰ τάχιστα
Ἔγρεο, καὶ στήτω σοῖσι λόγοισι σάλος.
Ἔστι μὲν ἄλγος ἔμοι γε, καὶ ἄψεα νοῦσος ἔχουσα·
Οὐ γὰρ δὴ βροτέων πάμπαν ἀμοιρέομεν.
Οὔτ' ἐγὼ οὔτε τις ἄλλος, ἐπεὶ θεὸς ὧδε κέλευσε
Μή τιν' ὕπερθε φέρειν ὀφρὺν ἐπουρανίου.
Πάντας δ' ἐς μεγάλοιο θεοῦ λεύσσοντας ἀρωγὴν,
Χρειοῖ κέντρον ἔχειν πλεῖον ἐπ' εὐσεβίῃ.
Ἀλλ' ἔμπης οὐ τόσσον ὀδύρομαι εἵνεκα νούσου,
Νοῦσος γὰρ νοερῷ καί τινα ῥύψιν ἔχει,
Ἧς πάντες χατέουσι, καὶ ὃς μάλα καρτερὸς ἐστι·
Δεσμὸς γὰρ θνητοῖς καί τι μέλαν φορέει.
Ὀσσάπιον χθαμαλῶν περικήδομαι ἄλγεα πάσχων
Μή τις ὀλισθήσῃ πήμασιν ἡμετέροις.
Παῦροι μὲν μερόπων κρατερόφρονες, οἵ ῥα θεοῖο
Δέχνυντ' ἀσπασίως πᾶσαν ἐπιστασίην
Τερπνῶν τε, λυπρῶν τε, λόγον δ' ἐπὶ πᾶσιν ἴσασιν.
Εἰ καὶ κρυπτὸν ἔῃς βένθος ἔχει σοφίης.
Πολλοὶ δ' εὐσεβέεσσιν ἐπιθρώσκουσιν ἀκιδνοῖς,
Ὡς θεολατρείης οὐδὲν ἔχουσι γέρας.
Ἦ καὶ πάμπαν ἄτιμον ἐνὶ στήθεσσι νόημα
Ἵσταντ' αὐτομάτην πᾶν τόδε πῆξιν ἔχειν.
Οὐδὲ θεὸν μεδέοντα βροτήσια πάντα κυβερνᾶν
Οὐδὲ γὰρ αὖ τοίους οἴακας ἄμμι φέρειν.
Τῶν μνῆσαι, καὶ ἄλαλκε τεῷ θεράποντι μέγιστε
Μὴ δ' ἐπὶ λωβητὸν τέρμα βάλῃς βιότου.

Σὸς

Σὸς λάτρις ἔσκον ἔγωγε, τεοῖς δ᾽ ἐπὶ χεῖρας ἰάλλω
  Δώροις καὶ κεφαλαῖς τῶν ὑποκλινομένων,
Καὶ νούσων καλέεσκον ἀρηγόνα. ἵλαθι Χριστέ.
  Εἰ δέ τ᾽ ἀποκρύπτεις, δὸς σθένος ἀθλοφόρον.
Μήτε με πάμπαν ἄτιμον ἔχοις λόγου, μήδ᾽ ἐπίμο-
  Μήτ᾽ ἀχάλινον ἄγοις, μήτε δυσπαθέα. (χθον,
Κέντρῳ νύσσε μάκαρ· μὴ δούρατι, μήτε με κούφην,
  Μὴ δ᾽ ὑπεραχθομένην νῆα θάλασσα φέροι.
Καὶ κόρος ὑβρίζει, καὶ ἄλγεα νύκτι καλύπτει.
  Ἀντιταλαντεύοις τίσιν ἀπημοσύνῃ.
Ἔσχες ἀγηνορέοντά μ᾽, ὑπομογέον τ᾽ ἤγειρε,
  Ὡς ἔτ᾽ ἐνηείης ἱερὸς ἀρισόδικε.
Ἁζόμ᾽ ἐμὴν πολιήν τε, καὶ ἄψεα αὐτοδάϊκτα,
  Καὶ θυσίας μογέων πήμασι, καὶ θεόθεν.
Ἀλλὰ τί μοι τὰ περισσὰ νόμοις θεότητι τίθεσθαι;
  Τῇ με Χριστὲ φέροις σὸν λάτριν, ὡς ἐθέλεις.

ΕΙΣ ΤΟΝ ΜΕΓΑΝ ΒΑΣΙΛΕΙΟΝ
ἐπικήδεια, εἴτε ἐπιτάφια.

1 Σῶμα δίχα ψυχῆς ζώειν πάρος, ἢ ἐμὲ σεῖο,
  Βασίλιε Χριστοῦ λάτρι φίλ᾽ ᾠϊόμην.
οδ. χ. 53. Ἀλλ᾽ ἔτλην, καὶ ἔμεινα. τί μέλλομεν; οὔ μ᾽ ἀναείρας
  Θήσεις ἐς μακάρων σὴν τε χοροστασίην;
Μή με λίπῃς, μὴ (τύμβον ἐπόμνυμι) οὔποτε σεῖο
  Λήσομαι, οὐδ᾽ ἐθέλων. Γρηγορείοιο λόγος.

Ἡνίκα

2 Ηνίκα Βασιλείοιο θεόφρονος ἥρπασε πνεῦμα
Η τριὰς, ἀσπασίως ἔνθεν ἐπειγομένου,
Πᾶσα μὲν οὐρανίη στρατιὴ γήθησεν ἰόντι, Γρ. ἰόντος
Πᾶσα δὲ Καππαδοκῶν ἐστονάχησε πόλις,
Οὐκ οἶον, κόσμος δὲ μέγ᾽ ἴαχεν, ὤλετο κῆρυξ
Ωλετο εἰρήνης δεσμὸς ἀριπρεπέος.

3 Κόσμος ὅλος μύθοισιν ὑπ᾽ ἀντιπάλοισιν ἀεικῶς
Σχίζεται, ὁ τριάδος κλῆρος ὁμοσθενέος.
Αἲ αἲ Βασιλείου δὲ μεμυκότα χείλεα σιγῇ.
Εγρεο, καὶ στήτω σοῖσι λόγοισι σάλος.
Σαῖς τε θυηπολίῃσι· σὺ γὰρ μόνος ἶσον ἔφηνας
Καὶ βίοτον μύθῳ, καὶ βιοτῆτι λόγον.

4 Εἷς θεὸς ὑψιμέδων, ἕνα δ᾽ ἄξιον ἀρχιερῆα
Ημετέρη γενεὴ εἶδέ σε Βασίλειε,
Αγγελον ἀτρεκίης ἐριήχεα, ὄμμα φαεινὸν
Χριστιανοῖς, ψυχῆς κάλλεσι λαμπόμενον.
Πόντου Καππαδοκῶν τε μέγα κλέος, εἰσέτι καὶ νῦν
Λίσσομ᾽ ὑπὲρ κόσμου ἵστασο δῶρ᾽ ἀνάγων.

5 Ενθάδε Βασιλείοιο Βασίλειον ἀρχιερῆα
Θέντο με Καισαρέες, Γρηγορίοιο φίλον,
Ον περὶ κῆρι φίλησα, θεὸς δέ οἱ ὄλβια δοίη
Αλλα τε, καὶ ζωῆς ὡς τάχος ἀντιάσαι
Ημετέρης. τί δ᾽ ὄνειαρ ἐπὶ χθονὶ δηθύνοντα
Τήκεσθ᾽ οὐρανίης μνωόμενον φιλίης;

6 Τυτθὸν ἔτι πνείεσκες ἐπὶ χθονὶ, πάντα δὲ Χριστῷ
Δῶκας ἄγων, ψυχὴν, σῶμα, λόγον, παλάμας,

Βατ-

Βασίλειε Χριστοῖο μέγα κλέος, ἕρμ' ἱερήων,
  Ἕρμα πολυχρίστου νῦν πλέον ἀτρεκίης.

Ὦ λόγοι, ὦ ξυνὸς φιλίης δόμος, ὦ φίλ' Ἀθῆναι
  Ὦ θείου βιότου τηλόθι συνθεσίαι,
Ἴστε τόδ' ὡς Βασίλειος ἐς οὐρανὸν, ὡς ποθέεσκε,
  Γρηγόριος δ' ἐπὶ γῆς, χείλεσι δεσμὰ φέρων.

Καισαρέων μέγ' ἄεισμα φαάντατε ὦ Βασίλειε,
  Βροντὴ σεῖο λόγος, ἀστεροπὴ δὲ βίος.
Ἀλλὰ καὶ ὣς, ἕδρην ἱερὴν λίπες· ἤθελεν οὕτω
  Χριστὸς, ὅπως μίξῃ σ' ὡς τάχος οὐρανίοις.

Βένθεα πάντ' ἐδάης τὰ πνεύματος, ὅσσα τ' ἔασι
  Τῆς χθονίης σοφίης, ἔμπνοον ἱερὸν ἔης,
Ὀκταετῆ λαοῖο θεόφρονος ἡνία τείνας.
  Τοῦτο μόνον τῶν σῶν ὦ Βασίλει' ὀλίγον.

Χαίροις ὦ Βασίλειε, καὶ εἰ λίπες ἡμέας, ἔμπης
  Γρηγορίου τόδε σοι γράμμ' ἐπιτύμβιδιον,

Μῦθος ὅδ' ὃν φιλέεσκες· ἔχεις γέρος ὦ Βασίλειε
  Τῆς φιλίης, καὶ σοὶ δῶρον ἀπευκτότατον.

Γρηγόριος Βασίλειε τεῇ κονίῃ ἀνέθηκα
  Τῶν ἐπιγραμματίων τήνδε δυωδεκάδα.

ΤΟΥ ΑΥΤΟΥ ΩΔΗ.

Δὸς τὸν ἄφθιτον μονάρχην
Δὸς αἰνυμνεῖν, δὸς ἀείδειν
Τὸν ἄνακτα, τὸν δεσπότην,
Δὶ ὃν ὕμνος, δὶ ὃν αἶνος,
Δὶ ὃν ἀγγέλων χορεῖαι,
Δὶ ὃν αἰῶνες ἄπαυστοι,
Δὶ ὃν ἥλιος προλάμπει,
Δὶ ὃν ὁ δρόμος σελήνης,
Δὶ ὃν ἄστρων μέγα κλέος,
Δὶ ὃν ἄνθρωπος ὁ σεμνὸς
Ἔλαχεν νοεῖν τὸ θεῖον,
Λογικὸν ζῶον ὑπάρχων.
Σὺ γὰρ ἔκτισας τὰ πάντα,
Παρέχων τάξιν ἑκάστῳ,
Συνέχων τε τῇ προνοίᾳ.
Λόγον εἶπας, πέλεν ἔργον.
Ὁ λόγος σοῦ, θεὸς υἱὸς,
Ὁμοούσιος γάρ ἐστιν,
Ὁμότιμος τῷ τεκόντι.
Ὃς ἐφήρμοσεν τὰ πάντα,
Ἵνα πάντων βασιλεύσῃ.
Περιλαμβάνον δὲ πάντα
Ἅγιον πνεῦμα τὸ θεῖον,
Προνοούμενον φυλάσσῃ.
Τριάδα ζῶσαν ἐρῶ σε,

Ἕνα καὶ μόνον μονάρχην,
Φύσιν ἄτρεπτον, ἄναρχον,
Φύσιν οὐσίας ἀφράστου
Σοφίας νοῦν ἀνέφικτον,
Κράτος οὐρανῶν ἄπαυστον,
Ἄτερ ἀρχῆς, ἀπέραντον,
Ἀκατασκόπητον αὐγὴν,
Ἐφορῶσαν δὲ τὰ πάντα,
Βάθος οὐδὲν ἀγνοοῦσαν
Ἀπὸ γῆς μέχρις ἀβύσσου.
Πάτερ ἵλεως γενοῦ μοι,
Διὰ παντὸς θεραπεύειν
Τὸ σέβασμα τοῦτο δός μοι,
Τὰ δ᾽ ἁμαρτήματα ῥῦψον,
Τὸ συνειδὸς ἐκκαθαίρων,
Ἀπὸ πάσης κακονοίας.
Ἵνα δοξάσω τὸ θεῖον,
Ὁσίας χεῖρας ἐπαίρων.
Ἵνα Χριστὸν εὐλογήσω,
Γόνυ κάμπτων, ἱκετεύσω,
Τότε προσλαβεῖν με δοῦλον,
Ὅταν ἔλθῃ βασιλεύσων.
Πάτερ ἵλεως γενοῦ μοι,
Ἔλεον καὶ χάριν εὕρω.
Ὅτι δόξα καὶ χάρις σοι,
Ἄχρις αἰῶνος ἀμέτρου.

ΤΟΥ ΑΥΤΟΥ ΥΜΝΟΣ ἑσπερινός.

Σὲ καὶ νῦν εὐλογοῦμεν
Χριστέ μου, λόγε θεοῦ,
Φῶς ἐκ φωτὸς ἀνάρχου,
Τρίτου φωτὸς εἰς μίαν
Δόξαν ἀθροιζόμενε.
Ος ἔλυσας τὸ σκότος,
Ος ὑπέστησας τὸ φῶς
Ιν' ἐν φωτὶ κτίσῃς τὰ πάντα,
Καὶ τὴν ἄστατον ὕλην
Στήσῃς, μορφῶν εἰς κόσμον
Καὶ τὴν νῦν εὐκοσμίαν,
Ος νοῦν ἐφώτισας ἀνθρώπου
Λόγῳ τε καὶ σοφίᾳ
Λαμπρότητος τῆς ἄνω,
Καὶ κάτω θεὶς εἰκόνα,
Ινα φωτὶ βλέπῃ τὸ φῶς
Καὶ γένηται φῶς ὅλον.
Σὺ φωστῆρσιν οὐρανοὺς
Κατηύγασας ποικίλοις.
Σὺ νύκτα καὶ ἡμέραν
Αλλήλαις εἴκειν ἠπίως
Εταξας, νόμον τιμῶν
Αδελφότητος καὶ φιλίας,

Καὶ τῇ μὲν ἔπαυσας κόπους
Τῆς πολυμόχθου σαρκὸς,
Τῇ δ' ἤγειρας εἰς ἔργα
Καὶ πράξεις τάς σοι φίλας.
Ατελής.

ΤΟΥ ΑΥΤΟΥ ΩΔΗ.

Η πολλὰ πολλὰ γίνεται
Μακρῷ χρόνῳ βροτοῖς
Τλητὸν δ' ἅπαν ὅκεν φέρῃ
Βίον στρέφων θεός.
αἰ Εγὼ γὰρ ἀεὶ μὲν ἔχον ἐν
Ξένῃ πόλει πάθας,
Λόγῳ ποιοῦντι σύμμαχον
Γλῶσσαν φέρον ἐμὴν,
Αλλους λέγοντας αἰνέσαι.
Πολλοὶ λέγουσι δὲ
Ξένοι φίλοι τε πίστεως
Εμοὶ σεβασμίας.
Οὐδὲν γὰρ οὕτως οὔποτε
Ολην ἔσφηλε γλῶτταν
Ως ἀνδρὶ μάταιος παῤῥησία.
Θεοῦ βοωμένου.

ΤΟΥ ΑΥΤΟΥ.

Τί σοι θέλεις γενέσθαι;
Ψυχὴν ἐμὴν ἐρωτῶ.
Τί σοι μέγ' ἢ τί μικρὸν
Τῶν τιμίων βροτοῖσιν;
Ζήτει μόνον τι λαμπρὸν,
Καὶ δώσομεν προθύμως.
Θέλεις τὰ Γύγεώ σοι
Τοῦ Λυδίου γενέσθαι;
Καὶ δακτύλῳ τυραννεῖν,
Τὴν σφενδόνην ἑλίσσων;
Κρύπτουσαν, εἰ κρύπτοιτο,
Φαίνουσαν, εἰ φαίνοιτο;
Θέλεις τὰ Μίδεώ σοι
Τοῦ πλουσίως θανόντος;
Ω χρυσὸν ἦν τὰ πάντα
Χρυσοῦ φέροντα λιμὸν,
Εὐχῆς δίκην ἀμείβει.
Θέλεις λίθους διαυγεῖς,
Πλάτη τε γῆς λιπώσης,
Καὶ ποιμνίων ἀριθμοὺς,
Βοῶν τε καὶ καμήλων;
Οὐ ταῦτα δώσομέν σοι.
Λαβεῖν γὰρ οὐδὲ λῷον,
Αλλ' οὔτ' ἔμοιγ' αἰνετόν.
Ἔρριψα γὰρ μερίμνας;

Plato lib. 2. de Rep. tom. ii. p. 359. d. Cic. lib. 3. de off. p. 59. b.

Clem. Alex. Paedag. p. 67. Max. Tyrius λόγῳ λ'.

Ἀφ' οὗ θεοῦ προσῆλθον.
Θέλεις θρόνους τε κ' ἀρχάς,
Καιροῦ φρύαγμα πίπτον;
Ἵν' αὔριον καθεσθῇς
Κάτω βλέπων ταπεινὸν,
Ἄλλου τραχηλιῶντος,
Ὃς ἦν παραστάτης σοι,
Τυχὸν δὲ καὶ κακῶν τις.
Θέλεις γάμῳ δεθῆναι
Βλακεύμασιν ἀνάγνοις,
Καιροῖς δὲ συστραφῆναι;
Θέλεις νόσον γλυκεῖαν;
Εὐτεκνίας μέριμναν;
Εὐτεκνίαν δ' αὖ εἴπω
Δυστεκνίαν, τί φήσεις;
Θέλεις λόγοις βοᾶσθαι,
Καὶ συλλέγειν θέατρα;
Ποθεῖς νόμους πιπράσκειν
Οὐκ ἐνδίκοις παλαισμοῖς;
Φέρειν τε καὶ φέρεσθαι
Πρὸ βημάτων ἀθέσμων;
Αἰχμὴν θέλεις τινάσσειν,
Πνέων Ἀρήϊόν τι;
Καὶ στέμματ' ἐξ ἀγώνων,
Θηροκτόνον τε κάρτος;
Ποθεῖς κρότους ἐν ἄστει;

Καὶ χάλκεος τυποῦσθαι;
Σκιὰν θέλεις φυέρον, ὃ
Μεταῤῥέουσαν αὔραν;
Ροῖζον βέλους ἀΐχνου;
Ψόφον χερὸς κροτούσης;
Τί γὰρ μέγ' ἐστὶ φέρουσι
Τῶν σήμερον μὲν ὄντων,
Ες αὔριον δ' ἀπόντων;
Ων καὶ κακοῦ μέτεστιν; δίς
Ων οὐ συνέρχεταί τι
Εντεῦθεν ἐξιοῦσι;
Τί οὖν; (ἐπεὶ τάδ' οὐχί)
Τί σοι θέλεις γενέσθαι;
Θέλεις θεὸς γενέσθαι,
Θεὸς θεοῦ μεγίστου
Παραστάτης φαεινὸς,
Σὺν ἀγγέλοις χορεύων;
Ιθι πρόβαινε, ταρσοὺς
Οξυτέρου μὲν οἰνῆς
Κυκλουμένην πρὸς ὕψος.
Εγὼ πτερὸν καθαίρω,
Εγὼ λόγοις ἐπαίρω,
Ως δὴ πτερόν τιν' ὄρνιν
Ες αἰθέρα προπέμψω.
Σὺ δ' εἰπέ μοι κάκιστον
Ω σάρκιον δυσῶδες,

Επεὶ συνεζύγην σοι
Η δεσπότης μαγείρῳ,
Τί σοι θέλεις γλυκέσθαι;
Πρὸς τὸ πνοὴν κεκτεῖσθαι;
Οὐ γὰρ πλέον χρεωστῶ,
Κἂν πόλλ' ἔχειν βιάζῃ.
Θήσεις τράπεζαν δι' ὕπνου
Μύρον τε καὶ μαγείρον
Σοφίσμασιν περισσοῖς;
Καὶ βαρβίτων χρεῶν τε
Κροτήματ' οὐκ ἄνοιστα;
Αβρῶν κλάσεις τε παίδων
Κινουμένων ἀνάνδρως,
Καὶ παρθένων ῥιγμοὺς
Γυμνουμένων ἀθέσμως;
Α τοῖς πότοις τυποῦσιν
Οσοι φιλοῦσιν ὕβριν,
Τὸν μαινόλην ἑτοίμως
Υποφλέγοντες οἶνον.
Ταῦτ' εἰ θέλεις παρ' ἡμῶν,
Εχοις μὲν, ἀγχόνην δέ.
Τοιαῦτα τοῖς ἀπλήστοις
Εγὼ φίλοις πορίζω.
Οἶκός σε πεζινός τις
Αυτόροφος καλύπτοι,
Η μικρὸν ἔργον ὥρας,

Εἰ δεῖ

Εἰ δεῖ τι καὶ πονῆσαι.
Τὸ δ' ἔσθος, ἢ καμήλων
Τρίχες (νόμῳ δικαίων)
Η καὶ δέρος, παλαιᾶς
Γυμνώσεως κάλυμμα.
Στιβὰς μὲν ἡ τυχοῦσα
Πόαι, κλάδοι τε θάμνων,
Απλωμα πορφυροῦν τι,
Καὶ συμπόταις ἀταρβές.
Τράπεζα δ' αὐτόθεν σοι
Γλυκὺ πνέουσ' ἀνείσθω,
Α γῆ φίλη δίδωσιν
Ατεχνα δῶρα πᾶσιν.
Επεὶ δ' ἔθηκα μέν σε,
Καὶ θρέψομεν προθύμως.
Θέλεις φαγεῖν; ἔχ' ἄρτον,
Εχ' ἄλφιτ' εἰ παρείη.
Αλες δέ σοι τὸ πέμμα,
Θύμος θ' ὃν οὐ μεζοῦμεν,
Απραγμάτευτον ὄψον.
Ενδεια δ' ἄλλο μεῖζον.
Θέλεις πιεῖν; βρύει σοι
Υδωρ, κρατὴρ ἀείρρους.
Ποτὸν μέθης ἄποιον,
Ακλήματον γάνυσμα.
Ζητεῖς δὲ καὶ τρυφᾶν τι;

Μηδ'-

Μηδ᾽ ὀξίνης φθονείσθω.
Αλλ᾽ οὐ τάδ᾽ ἀρκέσει σοι;
Τετρημένῳ ποθεῖς δὲ
Πίθῳ κακῶς ἐπαντλεῖν
Τὰς ἡδονὰς ἀπλήστως;
Αλλον πόει ποθεῖς ἣν.
Εμοὶ γὰρ οὐ σχολή σε
Θάλπειν σύνοικον ἐχθρὸν,
Ιν᾽ ὡς ὄφις κρυμωθεὶς,
Θέρμῃ δ᾽ ἔπειτ᾽ ἀλυωθεὶς,
Εγκόλπιός με τρώσῃς.
Θέλεις δόμοις ἀμέτροις
Χρυσωρόφοις, γραφῆς τε
Καὶ ψηφίδος σοφισμοὺς,
Κινουμένων σχεδόν τι;
Πλακός τε λάμψιν ἀβρᾶς
Αντίχροον, πολύχροιαν;
Θέλεις περιῤῥέουσαν
Εσθῆτα τὴν ἄθικτον·
Εν δακτύλοις τε πλοῦτον,
Γελώμενόν τε κάλλος
Τοῖς σωφρονεῖν μαθοῦσιν,
Εμοὶ δὲ καὶ μάλιστα
Ω κάλλος ἓν τὸ εἴσω.
Τοῖς μὲν κάτω δὴ ταῦτα
Υμῖν λέγω βροτοῖσιν,

Οἱ ζῆτε

Οἳ ζῆτε τὸ πρὸς ὥραν,
Μηδὲν πλέον βλέποντες.
Τοῖς δ' ἀγνῶς βιοῦσιν,
Επαξίως τε μοίρας
Τῆς ἐκ θεοῦ δοθείσης
Τῷ πηλίνῳ πάχει μου
Σκόπει πένητος ὄγκον,
Οἷαν σοφὴν χορηγῶ.
Δίδωθέ μοι φλογώδη
Ρομφαίαν ὦ θεόφρον.
Θείων γάμου γεωργὸς
Φυτῶν, λόγων θαλλόντων,
Ων μ' ἐστέρησεν ἐχθρὸς
Δι' ἡδονῆς συλήσας.
Ξύλῳ πάλιν προσελθεῖ
Ζωῆς ἀεὶ μθυέσης.
Ηδ' ἐστιν, ὡς αἰνῦερον,
Γνῶσις θεοῦ μεγίστου,
Φάους ἑνὸς τριλαμποῦς
Πρὸς ὃν τὰ πάντα τείνει.
Οὕτω μὲν αὐτὸς αὐτῷ
Πᾶς τις σοφὸς λαλήσει.
Ος δ' οὐ θέλει λαλῆσαι,
Μάτην βίον παρῆλθεν.
Εἴπερ μάτην παρῆλθε,
Μὴ σὺν κακοῖς μεγίστῳ.

Non Cyrilli sed Georgii Pisidae creditur ecclesiae Constantinopolitanae Diaconi et Chartophylacis seu Referendarii: inscriptum opus sex dierum, seu Mundi opificium. Extat latine in bibliotheca [illegible] Patrum, Tomo 8. col. 727. interprete Federico Morelo, regio Professore, et alia eiusdem poëmata.

+ citatur etiam in Indice bibliothecae quae fuit Card. Sirleti, nunc Card. Ascanii Columnae [illegible] Γεωργίου διακόνου ποίησις ἑξαήμερον, ὡς ἐμεγαλύνθη τὰ ἔργα σου, πάντα ἐν σοφίᾳ ἐποίησας.

ΤΟΥ ΕΝ ΑΓΙΟΙΣ ΠΑΤΡΟΣ ΗΜΩΝ

Κυρίλλου πατριάρχου Ἀλεξανδρείας, περὶ ζώων ἰδιότητος καὶ φύσεως, διὰ στίχων ἰαμβικῶν.

Ὦ παντὸς ἔργου καὶ θεηγόρου λόγου,
Καὶ γλῶσσα καὶ νοῦς καὶ τροφὴ καὶ καρδία.
Τὰ ῥεῖθρα τῶν σῶν οὐρανοδρόμων λόγων
Εἰς τὴν ἄνικμον ἔμβαλοῦ μου καρδίαν.
Ἐκ τοῦ κατασχόντος με γὰρ ἤδη ζόφου
Ἄφωνον ἔσχον ἐξ ἀνάγκης τὸ στόμα.
Τῆς τοῦ λόγου σάλπιγγος ἐμπεφραγμένης.
Οὐδὲν γὰρ οὕτως ὡς ἀθυμίας νέφος
Χειμῶνα γεννᾷ καὶ νοημάτων ζάλην,
Καὶ συσκιάζει τοῦ λόγου τὸν ἥλιον·
Καὶ νύκτα ποιεῖ γνωστικῆς ἀβλεψίας,
Καὶ τοῦ λογισμοῦ συνθολοῖ τοὺς ἀστέρας.
Ἔσω δὲ πᾶσαν τὴν ἀχλὺν τῶν φροντίδων,
Καὶ τὴν ὁμίχλην τῶν φρενῶν ἐπιστρέφει,
Καὶ τῆς διόπτρας τὴν ὀπὴν ἀντιστρέφει,
Δι᾽ ἧς τὰ μακρὰ τοῦ λόγου κινήματα
Ὁ νοῦς θεωρεῖ γνωστικῶν ἐξ ὀργάνων.
Ἐπεὶ δὲ τῇ σῇ φωτοκόσμῳ λαμπάδι

Παρῆλ-

Παρῆλθεν ἡ νὺξ καὶ τὸ πνεῦμα σου φθάσει,
Τὰ τῆς μερίμνης ἀπεφυσήθη νέφη.
Ελαμψε δ' ἡμῖν τὸ πρὸς εἰρήνην σέλας,
Ηκω φέρων σοι τῆς ἐρήμου καρδίας
Καρποὺς γεωργηθέντας ἐκ τῆς σῆς δρόσου.
Οὐκ ἦν γὰρ εἰκὸς τὴν βάτῳ πεφυρμένην
ψυχὴν γεωργεῖν ἐνφορώτατον στάχυν,
Εἰ μὴ φθάσας σὺ τοὺς ἀκανθώδεις ῥύπους
Ανεῖλες ἢ καθεῖλες ἰταμωτάτῳ
Τῆς σῆς προσευχῆς ἐξεχέρσωσας ξίφει.
Αλλ' ὦ γεωργὲ τῶν πετρῶν καὶ τῶν βάτων,
Σπείρεις γὰρ αὐτὸς κατὰ πέτρας τὸ πολλάκις.
Καὶ τεκνοποιεῖν ἐκβιάζῃ τοὺς λίθους,
Φύειν τε καρποὺς ἀξιοῖς καὶ τὰς βάτους.
Καὶ πλὴν οὐδὲν τὸν σὸν ἔνθεον σπόρον,
Εκ τῶν ἀδήλων βόσκεται πετασμάτων.
Αρδευσον ἡμᾶς τῇ ῥοῇ τῶν δακρύων,
Οπως γένηται τέκνον ἐκ στείρας πάλιν,
Καὶ καρπὸς εὔφορον ἐξ ἀκάρπου καρδίας.
Επεὶ δὲ φεύγεις τοὺς ἐπαίνους ὡς ψόγους,
Πρὸς τὸν σκοπὸν τὸ νεῦμα ξυντείνας ἔχω,
Τοῖς σοῖς πεποιθὼς μυστικοῖς ἀκοντίοις.
Πηγὴ μὲν σοὶ πέφυκε τοῦ λόγου μία,
Φλέβες δὲ πολλαὶ τῶν ἀδήλων ὀμμάτων.
Δι' ὧν ὁ Δαυὶδ πᾶσαν ἀρδεύει φρένα,
Ταύτης τὰ ῥεῖθρα τῆς γραφῆς ἀναβρύων,

Ὡς ἐμεγαλύνθη τοῦ θεοῦ τῶν κτισμάτων
Ἡ δημιουργὸς καὶ σοφὴ πανουργία.
Ὦ πλουσίων ἄβυσσος ἐννοημάτων,
Βοῶσα τοῖς θέλουσιν ἀντλῆσαι λόγους,
Ὅσους λαβεῖν χωροῦσιν οὐχ ὅσους ἔχεις.
Ἀλλ' ὦ σοφιστὰ Πρόκλε τῶν κάτω λόγων,
Ἄκουε μικρῶν συλλαβῶν κράτος μέγα,
Καὶ πρίν σε γὰρ λέγουσι ταῦτα θαυμάσαι,
Τοῖς ὠσὶν ἐνθλίψαντα τοὺς λόγους μόνον.
Τὸ τῶν νοημάτων γὰρ ἐκφράσαι βάθος
Εἰπὼν, ἀπειπὼν, ἀστατῶν αἰεξάπης,
Θάλπων τὸν ὄγκον εἰς κενὰς ὑποσχέσεις.
Οὐκ ἠγνόεις γὰρ δεινὸς ὢν λογογράφος,
Ὡς εἴγε κἂν κάνωπα τολμήσῃς φράσαι,
Αὐτός σε νύξας ἐκφοβήσει σαλπίσας,
Καὶ μηδὲν ἡμῖν ὡς ἀκόμπως κομπάσῃς.
Εἰ ταῦτα φράζειν Πρόκλος ὀκνεῖ καὶ τρέμει,
Πίστις δὲ θαῤῥεῖ καὶ λαλεῖν καὶ συγγράφειν.
Ἀλλ' ὦ σοφιστὰ τῶν ξενοσπόρων λόγων,
Ἄκουε Πρόκλε (μηδὲ κομπάσῃς ἔτι)
Σοῦ τὴν ἀφορμὴν τοῦ σκοποῦ δεδωκότος,
Σιγῶσι Πρόκλει καὶ λαλοῦσιν ἀγρόται.

ΑΡΧΗ ΣΥΝ ΘΕΩ ΤΟΥ ΩΣ

ἐμεγαλύνθη τὰ ἔργα σου κύριε, πάντα ἐν σοφίᾳ ἐποίησας.

Ω τὴν ἀνεξερεύνητον ἣν ἔχεις φύσιν
Κρύψας ὁμίχλῃ καὶ περιστείλας γνόφῳ.
Oπως μάθοιμεν πῶς ἀεὶ κεκρυμμένη,
Eκ τῶν ἑαυτῆς φαίνεται ποιημάτων.
Ω τὴν ἀεικίνητον οὐρανοῦ σκέπην,
Tῷ σφαιρομόρφῳ τῶν σοφῶν εἰλημάτων.
Yψει πλατύνας καὶ τοσαύτῃ συστάσει,
Bάθρον τεθεικὼς μηδαμοῦ πεπηγμένον.
O δέρριν ὥσπερ ἐξαπλώσας τὸν πόλον,
Tῆς ἁπλότητος τῶν ἐν ὕψει σωμάτων.
Ως ἐκταθείσης περὶ τὰ μήκη καὶ βάθη.
O σὸς γὰρ Ορφεὺς τὴν θεόφθεγγον λύραν
Kρούων ὁ Δαυὶδ δέρριν εἶπε τὸν πόλον,
Eἰ καὶ καπνοῦ δὲ τοῦτον ἐμφάσεις ἔχειν
Προβλεπτικῆς εἶπεν ὀξυδορκία,
Kἀνεμβατούσης τῆς φορᾶς τῶν ὀμμάτων.
Πρὸ τὴν ἀμυδρὰν τῆς ῥοπῆς θεωρίαν,
H σφαῖραν ἢ μίτμητον ἀψῖδος δίκην
Yψουμένην ἄνωθεν ἢ κυρτουμένην,
H καὶ πρὸς αὐτὴν τὴν κάτω φερομένην·
Oπως ἔχει στήριγμα τὴν ἐν σοὶ βάσιν,
Eἰς βάθρον ἀστήρικτον ἐστηριγμένος.

Ανω γὰρ ἤρεται καὶ βαθύνεται κάτω,
Εκτείνεται δὲ πρὸς τὸ χάσμα τοῦ πλάτους.
Ισας δὲ κύκλῳ τὰς ἀποστάσεις ἔχει,
Εστὼς δὲ φεύγει καὶ διάττων προσμένει.
Στάσιν δὲ τὴν κίνησιν ἀρρήτως ἔχει.
Εστι δὲ πασῶν ἀκροτήτων ἀκρότης,
Ορος δὲ πάντων ἐστὶ τῶν ὁρισμάτων,
Αφίσταται δὲ τῶν ἀφεστώτων ὅλων,
Οὐδὲν δὲ τούτου μέζον ὡς ἀμετρία,
Τρέχει δὲ τῷ σύμπαντι τὴν ἐναντίαν,
Μή πως τὸ συγκίνημα τῶν ἐλασμάτων,
Ωθημα πάχον ἐκραγῇ τῇ συστάσει.
Εν τοῖς ἐναντίοις γὰρ εἰκότως δρόμοις
Η τοῦ τάχους σύνδεσις ἀντωθουμένη
Παρακρατεῖ τὸ σφίγμα τῶν κυλισμάτων,
Μή πως καταχθῇ τῆς φορᾶς ἡ σφοδρότης
Εν τῇ κενώσει τῶν τομῶν καταδρόμων.
Αλλ᾽ ὥσπερ εἰς σύνδεσμον ἀντεσφιγμένον
Τοῖς ἀνθελιγμοῖς συγκρατεῖται τοῦ τάχους,
Βάσει τρεχούσῃ καὶ φορᾷ πεπηγμένῃ.
Μύθοις ἔπλαττον ὡς ἀτλαντικοῖς πόνοις,
Μακρῶν ὑποστήριγμα κιόνων ἔχει.
Ισως τὰ μακρὰ τῆς ἀδηλίας βάθη,
Στύλων ἀβάθρων ἐκτυποῦντες ἐμφάσει.
Μέγας γάρ ἐστιν ὡς θεοῦ μικρὸς θρόνος,
Ηβην δὲ γηρῶν καὶ παρακμὴν οὐκ ἔχει.

Εως

Εως ὁ πηγνὺς αὐτὸν ἑλίξει λόγος,
Στολίζεται δὲ τὸν χιτῶνα τὸν μέγαν,
Τὸν ἀέρα κλωσθέντα κερκίδι ξένῃ.
Χιτῶνα δ' αὐγῇ λεπτὸν, ἠρτισμένον,
Εἰς πᾶσαν εἰσδύοντα σωμάτων ζυγίαν.
Προσέρχεται δὲ νυμφικῶς ἐστεμμένος,
Λαβὼν διαυγεῖς μαργαρίτας ἀστέρας,
Ἔχει δὲ πρὸς τὰ στέρνα λυχνίτην ἕνα,
Ὡς πῦρ, ἀποστίλβοντα πρὸς τὴν ἡμέραν,
Ἄλλον δὲ λευκόπυρσον ὡς περὶ τοὺς πόδας.
Δεικνύντα λευκὴν πανταχοῦ τὴν ἑσπέραν,
Φρουρεῖ δὲ πᾶσαν ὡς ἐν εἱρκτῇ τὴν φύσιν,
Τηρεῖ δὲ τὰ στοιχεῖα φραγμώσας ὅλα,
Κόλπος δὲ παντὸς γίνεται κινουμένου.
Φθάνει δὲ πᾶν κίνημα συγκινῶν ὅλα,
Στιγμὴν δὲ τὴν ὥσπερ ἐν μέσῳ φέρει.
Ἐπ' οὐδενὸς δὲ πήγματος πεπηγμένος,
Τὸ κοσμαγωγὸν ἀντερείδει κέντριον·
Συνδεῖ δὲ τὴν ἄβυσσον ὡς ἐν σπαργάνῳ,
Καὶ τὸν τοσοῦτον κόσμον ἐγκλείσας ἔσω,
Ἔξωθεν αὐτὸς τῷ πλάτει συσφίγγεται.
Μετρουμένη γὰρ οὐρανῶν ἀμετρία
Ὡς πρὸς σὲ, στιγμὴ γίνεται στενουμένη·
Ὦ μηχανουργὲ τῆς πολυστρόφου στέγης.
Διαγράφεις γὰρ πᾶσαν ὡς θέλεις φύσιν
Τῇ σῇ διόπτρᾳ καὶ στοχάζεις τοὺς κάτω,

Καὶ τοὺς παροίκους εἰς ὑπαίθριον σκέπην,
Διαφλέγων μὲν καὶ πυρῶν τὸν αἰθέρα.
Πλὴν μὴ φλογίζων τῇ πυρώσει τὴν κτίσιν,
Ἀλλ' ὡς δοκεῖ σοι πᾶσαν ἁρμόζων φύσιν.
Καὶ τὰς ἀΰλους οὐσίας τῶν ἀγγέλων,
Ἢ πνεῦμα δεικνὺς ἢ πυρούμενον φλόγα,
Τὸ θερμὸν αὐτῶν καὶ τομὸν διαγράφων,
Ἢ τετραμόρφῳ σχηματίζων εἰκόνι,
Τὸ στερρὸν αὐτῶν ζωγραφῶν καὶ ποικίλον,
Ἢ πλῆθος αὐταῖς ἐξανοίγων ὀμμάτων.
Ὡς καὶ τὸ σὸν φῶς ἐμφανέστερον βλέπειν,
Καὶ μὴ λαθεῖν τι τῶν κάτω κινουμένων.
Σοὶ γὰρ φέρουσιν ὕμνον ὡς νικηφόρῳ,
Χερουβὶμ, ἀρχαὶ, καὶ στρατεύματα θρόνων.
Καὶ τὰ σεραφὶμ εἰς ἀκίνητον τάχος,
Ἑστὼς πτεροῦται καὶ πεπηγμένος τρέχει.
Καὶ ταῖς δυσὶν μὲν τοῦ προσώπου τὴν θέαν
Σκέπει πτέρυξι, ταῖς δυσὶν δὲ τοὺς πόδας,
Καὶ ταῖς δυσὶ πρὸς ὕψος ἵπταται μέγα,
Καὶ τὸ τριφεγγὲς τῆς ἁγιστείας μέλος.
Εἰς ἓν συναρμόζουσι κύριον σέβας,
Δεικνύντες ἑνότητα τῇ διαιρέσει,
καὶ τῇ συνέξει τοῦ θεωρητοῦ λόγου,
Διαιρετῶς μὲν τὰς ὑποστάσεις σέβειν,
Ἡνωμένως δὲ προσκυνεῖν τὴν οὐσίαν,
Ἐμφαντικὴν ξαινοῦντες ὀρθοδοξίαν,

 Τὴν

Τὴν ἑνότητα τοῦ λόγου σαρκουμένου,
Εἰς ἀλλόφυλον μὴ ῥυπῶσαι τετράδα.
Ἀλλ' ἓν πρόσωπον καὶ θεαρχίαν μίαν
Πρὸ σαρκὸς ὑμνεῖν καὶ μετὰ σαρκὸς λόγον,
Τὸν αὐτὸν ἄνθρωπόν τε καὶ θεὸν φύσει,
Μὴ προσθέσει χυθέντα μὴ διαιρέσει
Τομὴν παθόντα, μὴ τραπέντα συγχύσει,
Διπλοῦν τὸν ἁπλοῦν μηδαμοῦ πεφυρμένον.
Ὦ περὶ τὸ κάλλος τῶν ἐν ὕψει σωμάτων,
Λειμῶνα πολλῶν ἐμφυτεύσας ἀστέρων·
Καὶ νύκτα κοσμῶν καὶ στολίζων ἡμέραν,
Καὶ φῶς καθαίρων καὶ μελαίνων ἑσπέραν,
Καὶ πῦρ γεωργῶν καὶ κατασπείρων ὕδωρ,
Τὰ κοινὰ τοῖς χρήζουσι θησαυρίσματα.
Ὦ λεπτόσωμον ἐκχέων τὸν ἀέρα,
Πρὸς γὰρ τὸν αὐτὸν ἀντανέρχομαι πάλιν.
Καὶ μᾶλλον αὐτὸν νῦν λαλῶν ἀναπνέω,
Τὸν πανταχοῦ ῥέοντα καὶ πεπηγμένον,
Τὸν εὐτάλαντον τῆς πνοῆς ζυγοστάτην,
Τὸν ἄφθονον ῥοῦν, τὴν ἀνάργυρον δόσιν.
Οὐ πλούσιος γὰρ οὐδυνάστης ἁρπάσει
Πνοῆς περιττῆς ἐξ ἐκείνου συρμάδα.
Ἀλλ' εἰς ὅλους πρόεισι τὴν ἴσην χάριν,
Καὶ πᾶσιν ἁπλοῦς φαίνεται καὶ ποικίλος.
Τομαῖς ἀτμήτοις ἐν ῥοαῖς ἀσυγχύτοις,
Ἐν τῷ μερίζειν τὰς πνοὰς ″ ἡνωμένος, γρ. ἡνωμένας.

Εν τῷ προχεῖσθαι πανταχοῦ συνηγμένος,
Ω τὸν γίγαντα τοῦτον ἥλιον κτίσας,
Σῴζω γὰρ αὐτῷ προσλαλῆσαι καὶ πάλιν,
Βλέπων ἀπλήστως καὶ γράφων τὸν ἥλιον·
Τὸ κοινὸν ὄμμα, τὴν πανοπτείαν κόρην,
Τὸ πάνσοφον πῦρ, τὸν ὑπὸ γῆν ἑσπέραν,
Ὑπὲρ δὲ τὴν γῆν ἐργάτην τῆς ἡμέρας,
Τὸ κοσμικὸν κάτοπτρον ἢ τοὐναντίον,
Τὸν ὀπτικὸν ἀνιθῆρα τὴν τῶν ὀμμάτων,
Εκλαμψιν ἢ πρόσλαμψιν ἢ ξένην λύσιν,
Εν εἰσαγωγαῖς ἐκδοχὰς ποιουμένην.
Οὐδὲν γὰρ αὐτοῦ τῆς φορᾶς ἀπεκρύβη.
Αρκεῖ δὲ πᾶσι τῇ ῥοπῇ τῆς ἀτμίδος,
Φθάνει δὲ μέχρι τοῦ βυθοῦ τῶν τερμάτων.
Φωτὸς δὲ πηγὰς κοσμοκινήτους ἔχει,
Εστι δὲ κοινὸς ἐργεπείκτης τῶν κάτω.
Τρέχει δὲ τῷ σύμπαντι τὴν ἐναντίαν,
Οπως ἀκλινὴς τῆς φορᾶς ἡ σφοδρότης,
Εξ ἀντιπαλαίρων σφίγγηται καταδρόμων,
Καὶ μὴ ῥαγῇ τὸ σφίγμα τῶν κυλισμάτων
Εν τῇ κατ' εὐθὺ τῶν ἐλασμάτων τάσει,
Αλλ' ὥσπερ εἰς σύνδεσμον ἀντεσφιγμένος
Τοῖς ἀνθελιγμοῖς συγκεραννῦται τοῦ τάχους,
Βάσει τρεχούσῃ καὶ φορᾷ πεπηγμένῃ.
Εἰ μὴ γὰρ ἦν ἄτακτος ἀλλ' ἐξετράπη,
Τὸν κόσμον εἶχεν ἐν ῥοπῇ καταφλέγει.

Ω τὴν

Ω τὴν ἀμυδρὰν τῆς σελήνης λαμπάδα,
Ἐκ τοῦ περαυγοῦς ζωπυροῦσας ἡλίου.
Κιχρᾷ γὰρ αὐτῇ γλαυκὸν ἐξ αὐτοῦ σέλας,
Οὐκ οἶδα πῶς λέγουσιν ἀλλ' ὅμως τάχα
Οὐχ ὡς δεηθεὶς φύσεως ἀλλοτρίας,
(Τὸ φῶς γὰρ αὐτὸς καὶ περὶ ἡλίου βρύεις)
Ἀλλ' ὥστε ῥυθμὸν ἐντεθεῖναι τῇ κτίσει
Καλῆς ἀνάγκης καὶ σαφῆς ἐξουσίας.
Καὶ τὴν μὲν οὖσαν ἐνδεᾶ τῆς λαμπάδος,
Τὰς ὑγροποιοὺς ἀντιλήψεις εἰσάγειν.
(Δεῖται γὰρ ὑγρᾶς συμπλοκῆς ἡ θερμότης)
Τὸν δὲ ζέοντα τῆς φλογὸς τῇ προχύσει
Τὰς ἐκτεθείσας ἐκνοτίζειν ἰκμάδας,
Ὅπως γένηται μίξις ὥσπερ ἐν γάμῳ.
Καὶ συζυγέντων πρὸς τὸ τίκτειν τῶν δύο,
Εὔτεκνα δείξῃ τῶν σπαρέντων τὰ βρέφη
Λαβοῦσα θερμὸν ἡ σελήνη νυμφίον,
Ὦ μηδὲν ἐχθρὸν μηδὲ πρὸς μάχην κτίσας.
Ἀλλ' ὡς ἀδελφὰς οἰκοδεσπότης πατὴρ,
Εἰρηνοποιῶν τὰς ἐναντίας φύσεις.
Τάξιν δὲ δεικνὺς τῆς ἀτάκτου τριάδος,
Ὅπως ὁ κόσμος σῶος ὡς οἶκος μέγας
Ἄῤῥηκτος ἔσται τὸ πλάσθεν κριῶν δίκην,
Λαβὼν ὑποστήριξιν αὐτωθουμένην.
Οὕτω συνάπτεις τὰς ἀσυμβάτους φύσεις,
Ὡς ἓν θέλημα συμπνεούσης τῆς μάχης.

Ὡς λοιπὸν αὐταῖς κοινὸν ἐστὶ τὸν δρόμον;
Καὶ τὸν μὲν ἔργον ἀερόσιμον πλέκειν
Ὕφασμα κλεπτὸν εἰς ἀναπνοὴν βίου,
Τὴν δ' αὖ πυρὸς νήθουσαν ἀῤῥαγεῖς μίτους.
Χιτῶνα ποιεῖν εἰς τὸ θάλπειν τὴν φύσιν,
Τὴν δ' αὖ φέρειν ἔνομβρον ἐξ ἔθους ὕδωρ.
Μή πως τὸ θερμὸν φθαρτικῶς ὑπερβεάσῃ,
Τὴν γῆν δὲ ποιεῖν εὐπρεπῆ τὴν οἰκίαν,
Καὶ πάντας ἡμᾶς ἑστιᾶν καθ' ἡμέραν.
Οὕτως ὑπὲρ νοῦν εἰργάσω τὰς οὐσίας
Ἐν τῇ δοκήσει τῆς μάχης ἡνωμένας.
Καὶ τοῦ θέρους μὲν ἡ φλογώδης ἀκρότης
Οὐκ εὐθὺς εἰς χειμῶνα τὴν θέρμην τρέπει.
(Αἱ γὰρ μετάρσεις βλαπτικαὶ τῶν ἀθρόων.)
Ἀλλ' εἰς μετόπωρόν τι καὶ κρᾶσιν μέσην,
Τῷ μαλακῷ τὴν ψύξιν ἠρέμα τρέφει.
Κἀντεῦθεν εὐθὺς οὐ πρὸς ἄκρατον ζέσιν,
Ἀλλ' εἰς ἔαρ μέτεισι, καὶ λεληθότως
Τὸν κρυμὸν ὠθεῖ καὶ τὸ καῦμα συλλέγει.
Καὶ ταῦτα δρῶσιν ἐξ ἀμοιβαίου δρόμου
Κόραις ὁμοίως συγχορευούσαις ἅμα,
Καὶ συμβαλούσαις τοὺς ἑαυτῶν δακτύλους.
Ὅπως χορὸν πλέξωσιν εὔρυθμον βίου.
Ὡς ἐμεγαλύνθη τῶν σοφῶν σου κτισμάτων
Ἡ παντοποιὸς ἐμφανῶς ἐξουσία.
Χειμῶνος ὥρα καὶ τὰ δένδρα συντόμως

Εκ τῆς πυράγρας τοῦ κρύους μαραίνεται,
Φθίνει τὸ κάλλος, ἀσθενοῦσιν οἱ κλάδοι·
Εκρεῖ τὸ φύλλον ὥσπερ ἐκ νεκροῦ τρίχες.
Καὶ μικρὸν οὔπω τὴν φθορὰν ἀποξέει.
Καὶ κάλλος αὖθις καὶ νέας τρίχας φέρει,
Βλαστοῖς τὸ κάλλος καὶ τὰ φύλλα τὰς τρίχας.
Καὶ τῶν ἀδήλων ἐξεγείρεται τάφων
Πρὸς τὴν συνήθη τοῦ χρόνου ἀνάστασιν.
Θέρους ὁ καιρὸς οὐκ ἔχω λέγειν, ὅπως
Εκεῖνος ἐστὶν ὁ φλογώδης ἥλιος
Εν ταυτότητι τοῦ χρόνου καὶ τοῦ τρόπου,
Πῆ μὲν μελαίνει τὰς χρόας ἀποφλέγων,
Πῆ δ' αὖ γε λευκὰ δεικνύει τὰ σώματα.
Καὶ ξηρὰ μὲν δρᾷ τῶν σπαρέντων τὰ βρέφη
Υγρὰς δὲ ποιεῖ τῶν ὀπῶν τὰς ἰκμάδας,
Κιρνᾷ γὰρ αὐτὰς τῷ πρὸς ἀέρα δρόμῳ·
Καὶ θερμὸν ὑγρῷ συμπλέκει ὁδοιπόρον,
Οπως κερασθῇ τῇ μεσαζούσῃ χρόᾳ
Η τῶν ἐν αὐτοῖς ποιοτήτων ἀκρότης,
Καὶ μήτε φλέξῃ δραστικῶς ἡ θερμότης,
Υγρᾶς ἐν αὐτῇ μὴ παρούσης ἰκμάδος,
Μήτε πρὸς ἄκραν ἐξολισθήσῃ χύσις
Τῆς ὑγρότητος ἡ φορὰ μονουμένη.
Αλλ' ὥσπερ εἰς ἓν ἔργον ἐργάται δύο,
Τέγγει μὲν ἰκμάς, καὶ προβάλλει τὴν πόαν,
Καὶ τῆς ὀπώρας ὠμὰ τίκτει τὰ βρέφη.

Ἐπεὶ δὲ δεῖται πήξεως μὲν ἡ χλόη,
Χαυνώσεως δὲ τῶν ὀπῶν ἡ στερρότης·
Θέρμη συναντήσασα ταῖς δυσὶ μία,
Χαυνοῦσα καὶ σφίγγουσα τῷ ξένῳ λόγῳ·
Πληροῖ τὸ λεῖπον δωρεαῖς ἐναντίαις,
Καὶ τῇ χλόῃ μὲν ῥίζαν ἑδραίαν φύει·
Λεπτῇ δὲ χυλώσασα τοὺς ὀποὺς ζέσει,
γρ. ἀρτύει. Τὴν βρῶσιν ὡς ἔνσαρκον " ἀρτίᾳ δρόσον.
Ὡς καὶ παρ' ἡμῖν ὠμότητι καρδίας,
Σπινθὴρ νοητοῦ προσβαλόντος ἡλίου,
Θάλπει, μαλάττει, καὶ πεπαίνει, καὶ τρέφει,
Καὶ καρπὸν ἐντίθησιν ἐξ ἀκαρπίας.
Ὦ τετράπωλον ὥσπερ ἅρματος θέσιν,
Στοιχεῖα τάττων ἡνιόχων τε δρόμοις.
Ἐν ἑπτακύκλοις ἡμερῶν περιδρόμοις,
Διεξάγων δὲ τοῦ βίου τὸν ἄξονα,
Ῥυθμῷ συνήθει καὶ τροχῷ βεβηκότι·
Καὶ συμφυλάττων τὰς συνεκτικὰς θύρας,
Μή πως ἔχημα τοῦ συνήθους ἐκδράμῃ,
Καὶ σκύλμα πέμψῃ καὶ ταράξῃ τὴν θέαν,
γρ. φρίκην. Δημοφθόρον τε " φρίσιν ἐμβάλῃ μάχης,
Ἀλλ' ὥς τε πάντων τακτὸν εἶναι τὸν δρόμον.
Καὶ μηδὲν ἡμᾶς αὐτοδέσποτον βλέπειν,
Κοινὴν δὲ δούλην πᾶσαν εἶναι τὴν κτίσιν.
Καὶ μήτε συνδεθεῖσαν εἰς λύσιν τρέχειν,
Μὴ δ' αὖ παρεχθεῖν τοὺς πεπηγμένους ὅρους.

Εἰ μὴ

Εἰ μὴ μόνον σὺ τὴν τροπὴν ἀπεργάσῃ,
Καὶ γὰρ συνεῖδες προσκοπῶν τὸ συμφέρον
Τῶν σῶν μεγίστων ἐργοχείρων τὴν κτίσιν,
Μή τι τρέπεσθαι πᾶν γένος, καὶ συγχύσεις
Ταῖς κοσμολέθροις ἐκτροπαῖς περιστάγειν,
Μὴ δ' αὖ μὲν ἄτρεπτον ἀλλ' ἔχειν ὅρους
Τρεπτῆς ἀνάγκης, μὴ λαθοῦσα τῷ χρόνῳ,
Θεὸς νομισθῇ τοῖς ὁρῶσιν ἡ κτίσις.
Τίς γὰρ σελήνην ἢ τὸν ἥλιον βλέπων,
Ὀφθαλμιῶντας τῇ πρὸς ἔκλειψιν νόσῳ:
Οὐκ εὐθὺς ἔγνω τοῦ διδασκάλου φύσιν
Ὡς οὐκ ἂν ἠλλάξαντο φωστῆρες γνόφον,
Εἰ μὴ παθηταῖς ἐζοφοῦτο λαμπάσιν,
Ἢ αὖ τὸν αὐτὸν εὐσυνόπτως ἀστέρα
Καὶ φωσφόρον γνοὺς καὶ σκοπήσας ἕσπερον,
Οὐκ οἶδεν αὐτὸν ἐργάτην διπλοδρόμον
Κήρυκα νυκτὸς καὶ προφήτην ἡμέρας;
Τίς τὸν μέγιστον τοῦτον οὐρανὸν βλέπων,
Καὶ τὴν ἀεικίνητον ἣν ἔχει βίαν,
Τῶν ἀστέρων τε τοῖς συνεκτικωτάτοις,
(Νῦν μὲν βορείας, νῦν δὲ κινήσεις νότου,
Ἐν ἐκδρομῇ ποιοῦνται ἢ μεταστάσεις)
Ἢ τὴν ἄβυσσον τοῦ χυθέντος ἀέρος,
Ψυχρουμένην νῦν καὶ πάλιν πυρουμένην·
Καὶ προσβολὰς πάχνουσαν ἠναγκασμένας,
Καὶ τὴν ἄτρεπτον ἐννοήσας οὐσίαν

Δούλην

Δούλην νομίζει τὴν ἀείτρεπτον κτίσιν;
Τίς βρασμὸν ἢ χάλαζαν ἢ χύσιν γνόφου·
Η πῦρ καταχθὲν ἢ βραχεῖαν αἰθάλην,
Η γῆν τρέμουσαν καὶ παρειμένην βλέπων,
Οὐκ οἶδε δούλην τὴν κλονουμένην κτίσιν;
Τίς τὴν θάλασσαν ἀστατοῦσαν προσβλέπων
Οὐκ οἶδεν αὐτὴν δραπέτου τινὸς δίκην,
Φεύγουσαν ἔξω καὶ κρατουμένην ἔσω;
Η πολλάκις ζέσασα τῇ ψυχρᾷ ζέσει,
Καὶ ταῖς ἀτάκτοις προσβολαῖς τῶν ῥευμάτων
Ολην ἑαυτὴν οἷα μαινὰς ἀγρία,
Τῇ γῇ προσκρούσασα καὶ θυμουμένη
Θρασύνεται μὲν καὶ πλατύνει τὸ στόμα,
Καὶ πολλὰ κράζει καὶ τὸν ἀφρὸν ἐκπτύει
Καὶ συμπέφυρται πρὸς τὰ χείλη τοῦ σάλου,
Κρουνοὺς δὲ πολλῶν ἐκποιοῦσα ῥευμάτων
Απειρον ἅλμην ἐκ βάθρους ἐρεύγεται,
Τῇ πλησμονῇ δὲ τῆς μέθης ταράττεται.
Ρῆξαί τε τὰς κλεῖς καὶ διαδρᾶσαι θέλει·
Ανθέλκεται δὲ καὶ φοβεῖται καὶ μένει·
Καὶ τὰς ἐνύγρους οὐ παρατρέχει θύρας,
Αλλ' εἰς ἑαυτὴν ὑπτίως ἀνατρέχει.
Ως οἷα δούλη τῶν τριχῶν κρατουμένη,
Μαστίζεται γὰρ συμφερόντως ἡ κτίσις.
Οπως ἀπλήγως σωφρονισθῶμεν φόβῳ,
Φειδοῖ προνοίας τοῦ τεχνίτου τῶν ὅλων·

Καὶ

Καὶ συστελῶμεν ὡς φοβήτρῳ παιδία,
καθὰ τὰ μικρὰ τῶν κυνῶν τετυμμένα
Τὸ τῶν λεόντων σωφρονίζουσι θράσος,
Ὁ μέχρι παντὸς ἐνδιδοὺς ὑποθέσεις
Ταῖς ἐκ προθέσμου τῶν χρεῶν προθεσμίαις,
Ὁ δυστατῶν δὲ τὴν ἁμαρτίαν φόβῳ·
Βίας τε ποιῶν εἰς τὸ σῶσαι τὸν βίον,
Καὶ μὴ δικάζων συντόμως, ὁπηνίκα
Σφαλῶμεν ἡμεῖς, ἡ κτίσις δὲ τύπτεται,
Ποινάς τε πάσχει τῶν ἐμῶν ἐγκλημάτων
Ἀλλοτρίῳ μώλωπι τραυματουμένη.
Ὡς ἐν μετάρσει λοιμικῆς ἀρρωστίας,
Ἄλλων ἐχόντων τὴν τομὴν τῶν τραυμάτων,
Ὁ τοῦ πάθους κίνδυνος εἰς ἄλλους τρέχει.
Καὶ γίνομαι νῦν τῶν φρενῶν ἐν ἐκστάσει,
Πῶς ὁ κριτὴς δίκαια θεσπίζων ὅλοις,
Προσωποληπτεῖ καὶ φιλανθρώπῳ σχέσει,
Ἄλλου σφαλέντος· ἄλλον ἕλκει πρὸς δίκην.
Καὶ πῶς ὁ κρίνων τοῖς δικάζουσι κρίσιν,
Ἡ δῶρα λαμβάνουσιν ἐγκαλῶν μέγα.
Αὐτὸς δὲ δῶρα λαμβάνειν ἐπείγεται,
Πτωχοὺς ὑπουργοὺς ἀξιοχρέους ἔχων.
Ὡς εἴ τις εἴπῃ πιστικοὺς δομεστίκους,
Ἐξ ὧν ἀπαιτεῖ καὶ προδοῦναι τὴν δίκην.
Σφύζει δ' αὐτοὺς μὴ φοβούμενος ψόγον,
Καὶ λαμβάνει θέλημα χρυσίου πλέον.

Αρτῳ

Ἀρπᾷ δὲ μικρὰ τοὺς νόμους βιάζεται,
Ὑφήκεται δὲ καὶ στεναγμοῖς εὐλάβοι.
Ψυχρᾷ δὲ πεισθεὶς θέλγεται ποτηρίῳ,
Καὶ λῆμμα θερμοῦ δακρύου πορίζεται.
Καὶ μέχρι λεπτοῦ πολλάκις κατέρχεται,
Ζητῶν ἀφορμὴν εἰς τὸ κλέψαι τὴν δίκην.
Σχίζει δὲ πολλὰς συγγραφὰς ὑπαιτίους,
Τόμους δὲ σαθροὺς μυρίων χειρογράφων.
Τοῖς ἀφεσίμοις δαψιλῶς ὑπογράφει,
Τὰς ὑποθήκας καίπερ οὔσας ἐνδίκους
Γοργῶς ἀκυροῖ καὶ χαράττει συντόμως,
Αὐτὸς καθ' αὐτὸν ὡς θέλει ψηφίζεται.
Νόμους σαλεύει μὴ φοβούμενος νόμους,
Λύει τὰ δεσμὰ τῶν ὑπευθύνων ὅλων.
Λῃστὰς δικαιοῖ, ἀπενδεῖται κατακρίτοις.
Πόρναις ὁμιλεῖ, τοῖς τελώναις συμμίγει.
Εἰ δὲ προσχεῖσθαι ψαλμὸν ἐκ Δαυὶδ μάθῃ,
γρ. ἀναιτίους. Εἴωθε ποιεῖν καὶ φονεῖς ʺ ἀναρτίους.
Καὶ διάλυσις τῶν κακῶν ἐγκλημάτων,
Τοὺς παρανόμους ἐννόμως ὁρίζεται.
Οὐκ ἐκ βαφῆς γᾶς ὁ κριτὴς μελανδόχου,
Ἀλλ' αἱματώσας τοὺς ἑαυτοῦ δακτύλους.
Βαφαῖς ἐρυθραῖς βασιλικαῖς ἐγγράφει.
Ὢ τόξα τείνων εἰς τὸ πλῆξαι πολλάκις.
Περικρατῶν δὲ τὴν βολὴν ἠπειγμένην,
Τοῦ γὰρ βέλους μὲν διαζεπίζεις τὴν τάσιν;

Αργὸς δὲ γίνῃ πρὸς τὸ βάλλειν τοξότης,
Καὶ πολλάκις τὸ τόξον ἐντείνας, πάλιν
Χαλᾷς τὸ κέντρον καὶ μεθέλκεις τὸν τόνον.
Καὶ τῇ δοκήσει σχηματίζεις τὸν φόβον.
Καὶ τῆς ἀπειλῆς ζωγραφεῖς τὴν εἰκόνα,
Εως φοβηθεὶς πρὸς τὸ πλῆκτρον ὁ βλέπων
Κλίνῃ τὰ νῶτα καὶ προκύψας εἰς γόνυ,
Καὶ τῷ φόβῳ τὸ σῶμα συστείλας ὅλον
Φύγῃ τὸ τραῦμα τῆς βολῆς κενούμενος.
Εἰ γὰρ δοκεῖ μὲν ταῖς βολαῖς ἀντιβλέπειν,
Ετοιμότατον γίνεται τῷ τοξότῃ,
Εἰ δ' αὖ μεταστῇ τοῦ κακοῦ μεταιχμίου.
(Μεταίχμιον δὲ τῆς μάχης ἁμαρτία)
Παρατρέπει τὸ πλῆκτρον εἰς τοὐναντίον.
Θέλει γὰρ οὐκέτ' ἀστοχεῖν ὁ τοξότης,
Καὶ πλάττεται μὲν τῷ δοκεῖν τὸν ὀργίλον.
Απαξ δὲ πλήττει καὶ παραινεῖ πολλάκις,
Φόβοις, ἀπειλαῖς, ἐντροπαῖς, ἐνυπνίοις.
Στοργῇ κολάζων. (δεῖ γὰρ εἶναι) τῇ φύσει
Καὶ τὴν ἀπλὴν τοῦ θεοῦ σωτηρίαν.)
Ος πρὸς τὸ σώζειν μηχανᾶται ποικίλως,
Καὶ ψυχοκερδὴς γίνεται πλουτοπράτης.
Καὶ τοῖς λαβεῖν θέλουσιν οὐρανοπράτης
Καὶ μαργαρίτας οὐ δοκεῖ προτιθέναι.
Οὓς οὐκ ἀπεσπάκασαν ἰνδικοὶ λίθοι,
Αλλ' αἱ πενιχραὶ τοῦ βίου περιστάσεις.

Φειχ.

ἴσ. καλούς. Φρικτὴν δέ σοι δείκνυσιν ἄνθρακας " χάλους,
Εἴπερ λαλοῦσιν ὄντες ἠνθρακωμένοι·
Στικτοὺς. ἐρυθροὺς ὡς τὸ πῦρ ἐξημμένους,
Ὅλους ἑτοίμους εἰς παραθήκην σπερμάτων.
Ὧν αἱ τακεῖσαι τῶν μελῶν ἀναβράσεις,
Στίλβουσι μᾶλλον ἢ τὸ πῦρ τῶν ἀνθράκων.
Ὡς βασιλείαν τῶν ἀειζώων θρόνων,
Τῶν μήτε θνητῶν ἐγκοπὴν δεδοικότων.
Μήτε κλοπὴν τύραννον ἐπτοημένον.
Ὦ τῆς σοφῆς μάστιγος, ὦ πλούτου βάθος.
Ὦ χρηστότης ἄπληστος ἐξ ἑνὸς φόβου,
Τοὺς μὲν καθαίρει, καὶ πρὸ καιροῦ τῆς δίκης.
Καθαρτικὸν πῦρ ἐμβαλοῦσα τὴν νόσον,
Ἡμᾶς δὲ νήπτει συμφορᾶς διδασκάλῳ.
Καὶ μισθὸν ἡμῖν ἐκ νόσου τεχνάζεται,
Καὶ τὴν δοκοῦσαν τοῦ βίου τιμωρίαν.
Κοινὴν ἀφορμὴν ἐκτελεῖ σωτηρίας,
Ὦ γῆς ὑποστήριγμα τορνεύων ὕδωρ.
Ἱστῶν δὲ τὴν ῥέουσαν ἀστάτῳ βάσει,
Ἢ βάθρον αὐτῇ προσχέων τὸν ἀέρα.
Οὐκ οἶδα ποίαν ἄλλην ἑδράζων βάσιν,
Καὶ πῆ δὲ ταύτην δημιουργῶν πυθμένα,
Ὡς μὴ δεηθῇ τοῦ μετ' αὐτὴν πυθμένος,
Συραῖς δὲ μᾶλλον ἠγνοημέναις ὅλοις.
Ποιῶν κρεμαστὴν τὴν πάνορμον ὁλκάδα,
Ἡ γῆ γὰρ ὁλκάς ἐστιν εἰς ὕδωρ τάχα.

Ἐστῶτα

Εςῶσα καὶ φέρουσα τὴν οἰκουμένην,
Ψάμμον δὲ τεῖχος τῇ θαλάσσῃ συλλέγων.
Καὶ λεπτὸν ἀντίφραγμα τῇ ζάλῃ πλέκων,
Κτίζων δὲ βροντὴν, ἀςραπὴν δὲ θεσπίσας.
Εκ τῶν ἐνύγρων ἐκτρέχει πυρεκβόλων.
Ω αἱμώδεις οὐσίας θησαυρίσας.
Εκ τῶν ἀδήλων ὡς ἐπίςασθαι πόρον,
Αὖθις δὲ ταύτας ἐκχέων ἐν ἐξόδῳ.
Οταν χαρίζῃ τὰς πνοὰς τοῖς οἰκέταις,
Ω τοῦ κεραυνοῦ τὴν ὁδὸν περιτρέπων.
Αναςρέφων δὲ τὴν ἄνω φορὰν κάτω,
Χέων δὲ τὴν ἄβυσσον ἐκ βάθους ἄνω.
Οταν περιβάλλῃ τοὺς ἀναγκαίους φόρους,
Καὶ τῷ φόβῳ δρᾷς ἐκκοπὴν ἁμαρτίας.
Ω πῦρ φλογίζων τῇ χαλάζῃ συμπλέκων,
Οταν ξενεργῇς συμφορὰς αἰγυπτίοις.
Καὶ μή τι πυρσοῖς ἐξατμίζων τὴν δρόσον,
Μὴ δ᾽ αὖ γε τεφρῶν τῇ χαλάζῃ τὴν φλόγα.
Αλλ᾽ ὡς βραβεύτης καὶ συνάπτων καὶ πάλιν,
Καὶ πνεῦμα πέμπων καὶ μεσάζων τὴν μάχην.
Ω τὰς ἐπάλξεις τῶν νεφῶν καὶ τοὺς λόφους,
Κρεμῶν ἐν ὕψει καὶ μεθήκων ἐν βάθει.
Καὶ πῆ μὲν ἐκ γῆς εἰ θέλεις μετάρσιον,
Υδωρ αἰθήκων. πῆ δὲ διψῶσα πάλιν.
Τὴν γῆν ποτίζων καὶ δροσίζων εὐθέως,
Τὴν ξηρότητα ταῖς ἐνύγροις ἰκμάσι.

Μή πως ὑποκλάσασα τῇ ξηρᾷ ζέσει,
Στεῖρα προσβληθῇ πρὸς γονὴν τῶν σπερμάτων.
Ω τὰς ῥεούσας ὡς κελεύεις ἐκχύσεις,
Ποιῶν ὁμοίας ταῖς ἀποσκλήροις λίθοις.
Ας οὔτε χειμὼν οὔτε καύματος ζέσις,
Εἴργει τυποῦσθαι πρὸς τὸ σοὶ δεδειγμένον.
Πῇ μὲν γὰρ αὐτὰς οἷα πετρέους πάγους,
Χειμὼν ἀπεσκλήρωσε, πῇ δὲ καὶ θέρος
Στερροὺς ἀφῆκε τῆς χαλάζης τοὺς λίθους,
Τίς τὰς ἀφορμὰς τῶν ἀπορρήτων λόγων
Ταύτης ἀπηκρίβωσε τῆς λειτουργίας,
Ποῖον θεραπευθὲν τοῦ σταγγείτου στόμα
Τοὺς τῆς χαλάζης ἐξεργάζεται λόγους,
Ως ἥλιος μὲν ὑγρὸν ἁρπάσας πάχος,
Καὶ πρὸς τὰ κοῖλα τῶν νεφῶν ὀρύγματα,
Τὴν ψύξιν ἐνθεὶς καὶ * περιουσίας ὅλην
Τῆς ψυχρότητος ἐν βάθει τὴν ἰκμάδα,
Λιθοῖ τὸ χαῦνον καὶ παχύνει τὴν φύσιν.
Κἀντεῦθεν ἡ χάλαζα μαρμαρουμένη,
Χύσις κυλίνδρων γίνεται λιθοδρόμων.
Ο δ' αὖθις χειμὼν ψυχρότητος ἐκτάσει,
Ναρκῶσιν ἐνθεὶς τῆς ῥοῆς τῇ συστάσει.
Χεῖσθαι μὲν αὐτὴν οὐκ ἐᾷ χαυνουμένην,
Σφίγγων δὲ καὶ σπῶν δεικνύει πεπηγμένον.
Ω συλλογισμῶν εὐόλισθα κύματα,
Καὶ κτίσμα χαῦνον παιδικῶν ἀθυρμάτων.

τὰ λέπτα χάρτη καὶ συλλέγων εἰς στέγην.
ὦ πομφόλυξ σφύζουσα καὶ φυσωμένη,
καὶ πνεύματα ταῦτα τίς ἐν ὀγκώσει λόγοις,
ἣν ὡς ἄβαθρον καὶ " διάρρυτον κτίσιν γρ. διάρριτον
ψεκὰς συνιστᾶ καὶ σταγὼν ἀνατρέπει,
εἰ συστρέφει γὰρ τοὺς πάγους ἡ ψυχρότης,
καὶ ταῦτα ποιεῖ τοῦ θέρους ἡ θερμότης·
πόθεν συνῆλθον εἰς ἐνέργειαν μίαν
ἐναντίως ἔχοντες ἐργάται δύο;
ποῖαι δὲ χῶναι, καὶ κυλίστραι, καὶ στρόφοι
τὴν ψύξιν ἐσφαίρωσαν εἰς ῥυτὴν λίθον;
πόθεν δὲ καὶ φλὸξ τῇ βροχῇ μεμιγμένη
καὶ ταῖς φυλέχθρεσι συστροφαῖς εἱλουμένη,
ἄλωσιν οὐ πέπονθεν ἀλληλοφθόρον;
εἰδ' " αὖθις ἡ νοῦ ὀξυκίνητον στρέφων, γρ. αὖλις
ἢ πνεῦμα λεπτὸν εἰς ἀνάπληξιν λόγου
εἰπεῖν τι πιστὸν τῶν ἀποκρύφων μάθοι·
καὶ τοῦτο τῆς σῆς δέσποτα προμηθείας.
ὡς μὴ τὸ μῆκος, ἢ τὸ κάλλος τοῦ πλάτους,
μόνον σκοπήσας ἐκ πλαγῆς τῶν κτισμάτων·
ἀλλ' ὥς γε μᾶλλον τῇ νοήσει τοῦ βάθους
πρὸς ὕψος ἀρθεὶς γνωστικῶς σε θαυμάσῃ.
ἀλλ' εἰπὲ λοιπὸν τῷ Σταγειρίτῃ Πλάτων,
καὶ τὸν μαθητὴν αὐτὸν εἰ πείσεις λέγων
ἐκ τῶν ἄνω κάτελθε, καὶ λάλει κάτω,
μή πως ἐπαρθεὶς τῷ μεταρσίῳ θεάσει,

ὥσπερ νεοττὸς ἀετοῦ, καὶ μὴ θέλων,
αὖθις κατέλθῃς μὴ φέρων τὸν ἥλιον.
ἀλλ' ὦ παρ' ἡμῖν ἐμφανῶς κεκρυμμένε,
καὶ φῶς κατισχῶν, τοῖς δὲ τὴν σὴν οὐσίαν
ζητοῦσι, πολλὴν ἀντιπέμπων ἑσπέραν,
ὡς συγκαλύπτων οὐ μόνον τὴν σὴν φύσιν,
ἐν συστολῇ δὲ δεικνύων καὶ τὴν κτίσιν,
ὅπως ἐάν τις ἐξερευνῆσαι λόγῳ
τὴν σὴν ἀνεξερεύνητον οὐσίαν θέλῃ,
πρῶτον λάβοι κάλυμμα τὴν συγνὴν κτίσιν,
καὶ τὴν ὁμίχλην ἐκπλαγεὶς ὑποστρέφοι.
ὦ τὴν ἀνερμήνευτον ἐξοχὴν ἔχων·
δεικνὺς ἑαυτὸν ἐν κατόπτρῳ τῇ κτίσει,
ὅπως ἕκαστος ἐκμαθεῖν ἠπειγμένος,
τὰς σὰς δι' αὐτὴν ὡς ἐφικτὸν ἐμφάσεις,
μὴ τοὺς ὑπὲρ νοῦν εὐθέως ζητῇ λόγους.
ἀλλ' ὡς νέος τις ἐκδοθεὶς διδασκάλῳ,
καὶ πρὸς τὰ πεζὰ ταῦτα γράμματα τρέχων
τέως τυπωθῇ τοῖς κάτω μαθήμασι,
προσκαρτερήσας τῇ σχολῇ τῶν κτισμάτων.
καὶ συλλαβὰς μὲν ἐμφρόνως, τὰς οὐσίας,
τὰς εἰς ἑαυτὰς συντεθείσας ἐκμάθοι·
τὰς ἡλίου δὲ καὶ σελήνης ἐκθέσεις,
ὡς τῶν χρόνων εὔστικτα σημεῖα ξέσῃ,
ὅταν δὲ πᾶσαν τὴν προπαίδειαν μάθῃ.
καὶ καθολικαῖς ἐντριβῇ προσῳδίαις,

πήξῃ τε τὸν νοῦν εἰς τὰ τοῦ λόγου μέρη,
καὶ ῥητορικῶν ἐκφράσῃ τὰ κτίσματα,
τοῖς κοσμικοῖς δὲ πᾶσιν ἐντύχῃ νόμοις,
καὶ τοὺς παλαιοὺς μὴ παρατρέχων ὅρους
εἰς διατάξεις ἀκολουθῇ τὰς νέας,
καὶ πολλὰ πράξας καὶ προκόψας εἰσβάλῃ
ταῖς εἰσαγωγαῖς τῆς ἄνω θεωρίας,
καὶ τὴν ἐκεῖ σύνταξιν εἰς φρένας λάβῃ
τὴν τῶν μεγίστων πραγμάτων παιδεύξιαν·
τότε προβαίνων ἐντελέστερον μάθοι,
ὡς οὐδὲν ἔγνω πλὴν σκιᾶς κεκρυμμένης,
οὕτω τε λοιπὸν εἴπερ ἐξ ἀγνωσίας
τὸ, γνῶθι σαυτὸν εἰς διάσκεψιν λάβοι,
καὶ τῇ καθ' ἡμᾶς ἐνδιατρίβων φύσει
τέως ἑαυτῷ συλλαλήσοι καὶ μάθοι·

Πόθεν παρήχθην μηδὲν ὢν περὶ τοῦ βίου;
καὶ πῶς τὰ μικρὰ τοῦ σπόρου προβλήματα
ἐν τοῖς μερισμοῖς τῶν τοσούτων ὀργάνων
παρεντεθέντα, πῆ μὲν ὀμμάτων θέσεις,
πῆ δὲ φλέβας τίκτουσι, πῆ δὲ συνδέσεις
τῶν ἐντέρων πλέκουσι καὶ χεῖρας πάλιν
φύουσι καὶ σπείρουσι τοῖς ποσὶ βάσεις;
καὶ πῶς μερισθὲν εἰς νομὰς πολυτρόπους
τὸ τοῦ σπόρου σύστημα ποικίλῳ τρόπῳ,
μίαν καθιστᾷ τῶν μελῶν τὴν οὐσίαν,
τάσιν δὲ νεῦρον ἐμφύει τῷ σώματι;

πόθεν δὲ πηγὰς αἱμάτων ἐπισάγει;
κτίζει μὲν πλευρὰς, ὡραΐζει δὲ τρίχας;
σφίγγει δὲ ταρσοὺς καὶ μερίζει δακτύλους;
χαυνοῖ δὲ γλῶτταν εἰς τὸ συστρέφειν λόγους,
καὶ πλῆκτρον εἶναι τοῦ λαλοῦντος ὀργάνου;
περικρατεῖ δὲ σπονδύλοις τὸν αὐχένα·
μή πως ὄλισθον τῇ περιστροφῇ πάθοι;
ῥιζοῖ δὲ πυκνοὺς τῶν ὀδόντων τοὺς μύλους,
ὅπως ἀλεσθῇ πρὸς τροφὴν τὰ σιτία,
καὶ πῶς φυτουργεῖ τὴν πυρώδη καρδίαν,
σπινθῆρος ἔνδον μηδενὸς πεφυκότος;
ἣν ἐν μέσῳ τέθηκεν, ὡς στερεὰν τρόπιν
πηγνύντες, αὐτῇ πλευρὰ βάλλουσι ξύλα,
ἐκεῖθεν ἔνθεν εἰς τὸ σῶσαι τὸ σκάφος·
πόθεν δὲ μορφοῖ καὶ τυποῖ τὴν εἰκόνα,
καὶ κάλλος ἐντίθησιν ἐξ ἀμορφίας;
ποίους δὲ κόλπους μητρικοὺς ὑποτρέχων,
πῇ μὲν τὸ θῆλυ σχηματίζει τῇ πλάσει,
πῇ δὲ προβάλλει στομάτωσεις ἀῤῥένων;
πόθεν δὲ πηγὰς τοῖς κυήμασι βρύει,
καὶ τῷ γάλακτος εἰσαγωγοὺς εἰσάγει;
καὶ πῶς ὁμοίως τοῖς φυτοῖς ἡ θερμότης
αὔξει τὸ σῶμα τῶν ἀνήβων ὀργάνων,
τὰς ἐπιδόσεις τῶν μελῶν ἐργάζεται·
αὕτη δὲ βάλλει τοῖς ἐφήβοις τὰς τρίχας,
καὶ τὴν πρόσοψιν ὡραΐζει τῇ χλόῃ;

 ὀρ-

ὀργᾷ δὲ καρποὺς ἐξενεγκεῖν ἡ ζέσις,
ἕως ἂν ἔλθῃ τῆς παρακμῆς ὁ χρόνος,
ὥστε τὴν ὀπώραν ἐκπιέζων τῶν νέων,
μαραίνεται γὰρ εὐθέως ἡ θερμότης,
λευκαίνεται δὲ τῶν γερόντων ὁ στάχυς,
καρηβαρεῖ δὲ καὶ δοκεῖ κεκυφέναι.
τῇ γῇ δὲ προσνένευκε, καὶ βρίθεται κάτω·
τὸν γὰρ θερισμὸν γειτνιῶντα προσβλέπει.
ἣν μὲν καθ' ἡμᾶς σαρκικὴν λάβῃ λύραν,
καὶ γνῷ τὸν εἱργμὸν τῶν μελῶν, καὶ τοὺς τόνους.
καὶ τὴν ἄηχον ἐκφυγὼν ἀφωνίαν,
εἰπεῖν δυνηθῇ τὴν κάτω μελῳδίαν,
καὶ πῶς τὸ ῥευστὸν τοῦ σπόρου παχύνεται,
καὶ σάρκα ποιεῖ, καὶ πάλιν σκληρύνεται,
καὶ νεῦρα καὶ σύμπηξιν ὀστώδη πλέκει;
ἢ πηλίκον δοχεῖον ἡ μνήμη φέρει,
ἐν ᾧ φυλάττει τὰς δοχὰς τῶν πραγμάτων;
εἴπῃ δὲ πῶς ἔμπρακτος ἡ φύσις τρέχει
πρὸς τὰς ἐν ἡμῖν θρεπτικὰς λειτουργίας·
ὡς ἂν δέ τις δέσποινα τῆς οἰκουργίας
κινεῖ πρὸς ἔργα τοὺς ἑαυτῆς ἐργάτας,
καὶ τοὺς ὀρεκτικοὺς μὲν ὀξύνει πόρους,
τοὺς ἑκτικοὺς δὲ πάντας ἰθύνει τόνους,
βάλλει δὲ κλεῖθρα ταῖς καθεκτικαῖς πύλαις,
ἕως λαβοῦσα καιρὸν ἀλλοιώσεως,
ἐξαιματώσει τὰς τροφὰς ἡ θερμότης.

καὶ τὴν ἀποκείνεσαν ὠθῆσαι θύραν
καὶ πᾶν περιττὸν ἐκφορῆσαι φορτίον.
ἢ πῶς ἐνεργεῖς ἀντιλήψεις εἰσάγει,
πρὸς τὰς ἐν ἡμῖν ποικίλας διακρίσεις,
ἁφὴν, ἄκουσμα, γεῦσιν, ὄσφρησιν, θέαν;
καὶ ταῖς ἁφαῖς μὲν τῷ δίκας ἢ δακτύλῳ·
ζυγοστατεῖ τι χαῦνον ἐκ τοὐναντίου,
στενὰς δὲ ποιεῖ τῆς ἀκοῆς εἰσόδους·
καὶ κοχλοειδεῖς τὰς θύρας ἐργάζεται;
ὡς ἂν καθ' εἱργμὸν εἰσρέωσιν οἱ κτύποι,
καὶ μὴ καταπλήξωσι τοὺς ἔσω πόρους
ἤχοις ἀτάκτοις ἐμπεσόντες οἱ ψόφοι.
σαρκοῖ δὲ καὶ τὴν γλῶτταν ἠραιωμένην.
δέον γὰρ αὐτὴν δέρμα σομφῶδες ἔχειν
πρὸς τὰς ἀνακλάσεις τε τῶν ἐδεσμάτων,
καὶ τὰς ἐτύμους ἀντιλήψεις τῶν πόρων·
δι' ὧν λαβοῦσα τὰς τροφὰς ἡ χαυνότης,
πρὸς πᾶν τὸ ῥευστὸν εὐδιάκειτος μένῃ.
πόθεν δὲ καὶ σύριγγας εὐπόρους ἔχει
ὀσφραντικῆς ὄχημα, καὶ βιοξόφου
πνοῆς ἀγωγούς; ὧν φραγέντων ἐκ πάθους,
ἀγωνιᾷ τὸ ζῶον ὡς ἐν ἀγχόνῃ,
ἢ καὶ περιπνεῖν ἐκβιάζει τὸ στόμα.
μιμουμένη δὲ τὰς ἐν οὐρανῷ θέσεις
φωστῆρας ἀντέθηκεν ὀφθαλμοὺς δύο,
ὅπως ἔχοιμεν ταῖς βολαῖς τῶν ὀμμάτων,

τὸν ἀέρα πλήττοντες ὡς οἱ τοξόται,
φῶς φωτὶ σύρειν ὡς τὸ πῦρ ἐξ αἰθεράκων.
ἐκ τῶν ἄνω δὲ κεφαλῆς ἀκροστέγων,
ὕδερον διατρήσασα σελήνος δίκην.
καὶ πνεῦμα φωτὸς ἐμβαλοῦσα τῷ πόρῳ,
τοῖς μὲν χιτῶσι συγκαλύπτει τὰς κόρας,
(ὡς εἴτις οἶκοι συμφυλάττων παρθένους)
ὀπὴν δὲ μικρὰν ἐξανοίγει τῷ πόρῳ·
ὅπως τὸ πνεῦμα τῶν ὀχετῶν ἐκτρέχων,
μήτι στενωθῇ τῆς ὁδοῦ πεφραγμένης,
καὶ πνεῦμα πταίσῃ, καὶ σκοτώσῃ τὴν θέαν.
τὰς ἐκχύσεις δὲ περιπλάττει ταῖς ὄψεσιν,
μὴ δ' αὖ ταράξῃ καὶ θολώσῃ τὰς κόρας,
ὁρμαῖς ἀπλήστοις ἐκχυθὲν πρὸς τὸ πλάτος.
ὡς ἐμεγαλύνθη τῶν σοφῶν σου κτισμάτων,
ἡ γνῶσις ἡ δύσφραστος ἡ τοῖς ἀγράφοις
λόγοις ἀπαγγέλλουσα τὸν θεῖον γνόφον.
καὶ νῦν ἐφεῖται τῆς ζοφώδους καρδίας
δαδοῦχον εἶναι τὴν ῥοπὴν τῶν ὀμμάτων,
εἴπερ δι' αὐτῶν ἐμβαλοῦσα τοὺς ῥύπους,
πάλιν δι' αὐτῶν ἐκβάλῃ τὰ δάκρυα.
τὰς εἰσόδους πλύνασα ταῖς διεξόδοις,
εἰς τοὺς λαβυρίνθους δὲ τῶν λόγων φράσοι,
ὁ τῶν ἀδήλων οὐσιῶν ζυγοστάτης.
καὶ πῶς ὁ νοῦς σύνεστι πηλίνῳ βάρει,
καὶ πνεῦμα πηλῷ καρτερεῖ συνημμένον.

ἢ πῶς ἐν ὕλῃ τὴν ἀϋλίαν ἔχει,
εἰ μηδὲν αὐτὸν ὑλικὸν περιγράφει;
ἢ πῶς μέγιστον ὄμμα τῆς ψυχῆς ἔφυ,
καὶ τῶν ἀδήλων ὀπτικοὺς ἔχει πόρους.
καὶ νῦν μὲν εἰς γῆν ταῖς ἐνεργείαις μένει,
νῦν δὲ πρὸς αὐτὸν ἅλλεται τὸν αἰθέρα.
καὶ πόλους ἀρθεὶς καὶ τὸν ἥλιον φθάσας,
τὰς τῶν ἄνω τε καὶ κάτω ζητεῖ φύσεις.
καὶ ταῖς μὲν ἀρκεῖ, τὰς δὲ συμμέξως βλέπει,
τῶν δὲ στοχασμοῖς ἐννοεῖ τὰς εἰκόνας.
καὶ τὴν ὄρεξιν μηδαμοῦ στῆσαι θέλων,
ἐφίκεται μὲν τῆς ἁπάντων αἰτίας·
καὶ τὴν ἐκείνης γνῶσιν ἀθρῆσαι θέλει,
καὶ πολλὰ κάμνει, καὶ τὸν ἔσχατον πόλον
δοκεῖ παρελθεῖν· ἀλλ' ἐκεῖ μένει μόνον,
εἰ καὶ διαυγοῦς εὐπορήσει καρδίας.
ὅταν δὲ τούτους τοὺς πολυπλόκους μίτους
λύσῃ σχολάζων καὶ βαθύνῃ καὶ φράσῃ
ὅπως ὁ κρυπτὸς τῶν φρενῶν ὁδοστάτης,
ὁ ψυχοκλέπτης, ὁ φθορεὺς τῆς καρδίας,
ἡ τοῦ σκότους ἔπαρσις, ὁ πρῶτος δράκων,
ἔξωθεν ἔνδον ἡδονὰς παρεισάγει·
σπείρων λογισμοὺς εἰς γονὴν ἁμαρτίας;
ἢ πῶς τυραννεῖ καὶ μεταίρει τὴν φύσιν
εἰς παρὰ φύσιν τῶν παθῶν κτηνωδίαν,
καὶ πῇ μὲν δείκνυσι τὰς κούφας φρένας·

σύας

σύας δὲ κάπρους· καὶ λύκους τοὺς ἅρπαγας,
σφῆκας δὲ πλήκτας θυμικοὺς καὶ παρδάλεις.
ποιεῖ δὲ τοὺς ἐρῶντας ἀθλίους κύνας,
σαίνειν δοκοῦντας καὶ δάκνειν ἠπειγμένους·
ὄφεις δὲ πικροὺς ἐκτελεῖ τοὺς βασκάνους,
τὸν ἰὸν ἐνθεὶς τῇ κακῇ περιπλάσει·
θήγει δὲ πικρὰ καὶ τὰ τοῦ τύφου βέλη,
βάπτει γὰρ αὐτὰ ψυχοκόμπῳ φαρμάκῳ
τιμῆς ἀτίμου, πτώσεως ἐπηρμένης,
ὄγκου ταπεινοῦ, δυσκλεοῦς εὐδοξίας.
θρήνῳ γελῶντι τὴν σκιὰν τοῦ παιγνίου,
εἰδωλολατρεῖν δὲ τοὺς φιλαργύρους.
τὴν ῥίζαν ἐντίθησι τῶν κακῶν ὅλων,
ἣ κἂν κορεσθῇ μᾶλλον, οὐκ ἔχει κόρον·
ἀλλ' εἰς ὀρέξεις τήκεται καὶ φλεγμονάς,
τῇ πλησμονῇ διψῶσα, καὶ τῇ προσθέσει
τὸν βρασμὸν ἐξάπτουσα τῆς χρυσῆς μέθης.
ἢ πῶς τοσοῦτον καὶ πεσὼν ἔχει κράτος,
ὡς μὴ μόνον τὸ σῶμα βαρβάρου δίκην,
ἀντιστρατεύειν πρὸς μάχην τοῦ πνεύματος
ἤδη δὲ κ' αὐτῆς ἅπτεται τῆς καρδίας,
καὶ δουλαγωγεῖ τὴν ἐλευθέραν φύσιν·
καὶ τὰς ἐν ἡμῖν αὐτοδεσπότους φρένας
ἐν αἰχμαλώτῳ συμφορᾷ περιτρέπει.
πείθει τε πολλὰ καὶ τὰ λοιπὰ συμπνέειν.
ἑλίσσεται γὰρ λοξοειδῶς ὡς ὄφις.

ἔστιν

ἔστιν δὲ δεινὸν ἐν φρενήσει θηρίον·
σταθοδρομεῖ δὲ τὴν κάτω φορὰν τρέχων.
κεχρημένος γὰρ ὡς ποσὶν τῇ κοιλίᾳ,
λείχων δὲ τὸν χοῦν τοῖς λύκων τάχα τρόποις.
καὶ γαστριμάργῳ τῶν παθῶν ὑπερζέσει,
κινεῖ τὸ συμπέρασμα τῆς ἁμαρτίας.
πρὸς μὲν ἕκαστος γεῦσιν ἡδέως τρέχει.
καὶ συγκεραννὺς ἡδονῇ τὴν πικρίαν,
μελικράτῳ φθείρει με δηλητηρίῳ,
σύμβουλος ἐχθρὸς καὶ κατήγορος φίλος.
σφαγεὺς προσηνὴς καὶ φονεὺς συνεργάτης,
πλανῶν ὁδηγὸς, εὐμενὴς ὁδοστάτης.
εὔσπονδος, εὐπρόσδεκτος, εὐπειθὴς δράκων
γρ. ἡμᾶν θέλγει γὰρ '' ἡμᾶς μηδενὸς προσκειμένου.
κάλλος παρειστᾷ μηδενὸς κινουμένου,
πρόσωπα μορφοῖ, ζωγραφεῖ διαπλάσεις.
τὸν νοῦν ἐρευνᾷ, ψηλαφᾷ τοὺς δακτύλους,
γέλωτα ποιεῖ, συμβιβάζει τὸ στόμα.
καὶ τῇ δοκήσει δ' ἀφανοῦς ἁμαρτίας,
ἔμπρακτον ὠδίνησε τὴν ἁμαρτίαν.
οὐκ ἀγνοῶ γὰρ τῶν ἐκείνου φασμάτων,
τὸ δυσπαθὲς φρόνημα, καὶ τοῦτο πλέον
θλίβει με καὶ δάκνει με καρκίνου δίκην,
εἰσάγοντα καὶ πράττοντα τὴν ἁμαρτίαν.
πλὴν τὸν γέροντα τοῦτον ἀῤῥήτως ὄφιν,
τὸ τοῦ σκότους κάτοπτρον, ἡ θεία κρίσις

περιΰ-

προὔθηκεν ἡμῖν, εἴ γε τοὺς κατ᾽ εἰκόνα
γραφέντας ἡμῖν μὴ χαράξομεν τύπους,
ὅπως ἔχωμεν αὐτὸν ἀντὶ παιγνίου,
παίζοντες εἰς δράκοντα κἂν χαίνῃ μέγα.
πολλοὶ γὰρ αὐτοῦ τὴν ἐπηρμένην φρένα,
καὶ τὴν ἄφικτον ἐν μάχαις αὐλίαν
ὕλην ἔχοντες σαρκικῶν βαρημάτων,
καὶ τῇ γεώδει συμπεφυρμένοι κόνει
ἤμβλυναν, ἀπέστρεψαν ὥσπερ ἀσπίδος,
τὰ σαθρὰ πρὸς γῆν ἀντιπέμποντες βέλη.
εἰ ταῦτα πάντα πρὸς διάσκεψιν λάβῃ,
καὶ τῶν δοκούντων εὐτελῶν καὶ συστρόφων;
καὶ σφυγμὸν δ᾽ εὑρὼν τὴν διάγνωσιν φράσοι
ἢ καὶ προσκόπτων θεῖον ὄργανον λάβοι
φωνὴ βοῶντος εἰς ἐρήμους καρδίας,
ἢ τῇ πυράγρᾳ τοῦ χερουβὶμ ἐγγίσας
λάβοι παρ᾽ αὐτοῦ τοῦ λόγου τὸν ἄνθρακα,
ἢ τὸν πυραυγῆ δίφρον ἢ τοὺς ἐμφλόγους
ἵππους ἐλαύνων, οὐρανῶν ὁδὸν δράμοι,
ἱππεὺς δὲ δειχθῇ τοῦ βίου μετάρσιος·
τῆς σαρκὸς αὐτὸν μὴ κατασπώσης κάτω,
ἢ πῦρ κατάξει καὶ κρεμάσει τὴν δρόσον
ἕλκων, μεθέλκων, ἀντιβάλλων τὰς φύσεις,
φράξει δὲ πίστις τῶν λεόντων τὸ στόμα,
δρόσον δὲ δείξει τῆς καμίνου τὴν φλόγα·
ἢ καὶ πατάξει Νεῖλον εἰς αἷμα τρέπων,

πείσει

πείσει δὲ λάμπειν διὰ ζόφου τὸν ἥλιον,
σχίσει δὲ τὴν ἄβυσσον εἰς τρίβον ξένην,
στῦλον δὲ δείξει πυρὸς ἔμπυρον σέλας,
ἄρτους δὲ (σίτου μὴ προσκειμένου) πλάσει.
τενεῖ δὲ χεῖρας εἰς τροπὴν ἐναντίων,
τοῦ σταυρικοῦ δοὺς συμβόλου τὴν εἰκόνα.
ἴδῃ δὲ πυρσῷ μὴ φλογισθεῖσαν βάτον,
τὰ κρυπτὰ τοῦ μέλλοντος εἰκονίσματα·
τότε προσκύψας ὡς ὁ Μωσῆς ἐμφόβως,
καὶ κατανοῶν δ᾽ ἐρῶν ἐν θυέλλῃ καὶ γνόφῳ,
καὶ πρὸς τὸ νύγμα τῆς ὀπῆς ἀφιγμένος,
μόλις τὰ κρυπτὰ τῶν ὀπισθίων μέρη
θεοῦ σκοπήσει καὶ πλέον μηδὲν βλέπων,
πλέον ποθήσει τὸν κεκρυμμένον πόθον.
ἀργοὶ γάρ εἰσι τῶν ἐρώντων οἱ πόθοι,
εἰ συντόμως τύχωσι τοῦ ποθουμένου.
καί πως ἐρευνῶν τοῦ θεοῦ τὴν οὐσίαν,
ὅσον θεωρεῖ, πρὸς τοσοῦτον συμμύει.
εἰ γάρ τις εἰς ἄβυσσον ἀπλήστοις κόραις,
ἢ καὶ πυραυγῆ δίσκον ἡλίου βλέπων
ὅσον θεωρεῖ τὰς κόρας ἀμβλύνεται·
ποῖος πανόπτης διατενήσει νοῦς βλέπειν
τοῦτον καθ᾽ ἡμᾶς ἡλίου φωτὸς πέραν;
Ἀλλ᾽ ὦ παρὼν πόρρωθεν, ἑδραίῳ τάχει
ὁ πᾶσι γνωστὸς καὶ δυσεύρετος μένων,
καὶ πᾶσι ληπτὸς, καὶ κρατεῖσθαι μὴ θέλων·

πᾶσι γὰρ ὢν ἄγνωστος ἐγνώσθης ὅλοις,
ἐξ ὧν ἐνεργεῖν τοὺς δὲ πάντας σε βλέπειν.
ὅσον γὰρ ἐν σοὶ μέγεθος τῆς οὐσίας,
ἀκατάληψις ἐξοχῆς συνεστάλη·
τοσοῦτον ἡμῖν τὴν ἐνέργειαν βλέπειν
τὴν σὴν ἔθηκας, οὐκ ἐν ἀγγέλοις μόνον,
οἷς τὰς πυραυγεῖς ἐμφυτεύσας οὐσίας,
ὕλην ἄϋλον μυστικῶς ἀπειργάσω.
ἀλλ' εἴπης ἡμᾶς οὐσιῶν ὑποτέρα
λήγηθε τάξις οὐρανοῖς, ἐν αἰθέρι,
ἐν παντὶ κόσμῳ τοῦ τε νῦν ὁρωμένῳ,
καὶ τοῦ περὶ αὐτοῦ καὶ μετ' αὐτὸν εἰ θέλεις.
χωρεῖ γὰρ εἰς πῦρ, εἰς ὕδωρ, εἰς ἀέρα,
εἰς γῆν, ἐν ἄστροις, ἐν φυτοῖς, ἐν ὀρνέοις,
εἰς πᾶν τὸ νηκτὸν, εἰς τὸν ἕρποντα στόλον,
εἰς πάντα χόρτον εἰς τὸν ἄνθρωπον πλέον.
δι' ὃν τὰ ταῦτα, καὶ μεθ' ὃν παρήχθη,
ὡσὴ γὰρ ἀκτὶς μηδαμοῦ χωρουμένη·
εἰς πάντα χωρεῖ μηδαμοῦ στενουμένη,
οὐ τῶν μεγίστων οὖσα τεχνῆτις μόνον,
ὁμοῦ δὲ πάντων ἀρχέτυπος δεδραγμένη,
ἴθυνον ἡμᾶς; ἔνθα τῆς κοσμουργίας
τῆς σῆς ἔνεστιν ἱστορεῖν τὰς ἐμφάσεις.
τίς γὰρ θεωρῶν μῆλον ἢ βαφὴν ῥόδου
οὐκ εὐθὺς ἔγνω τῆς βαφῆς τὸν ἐργάτην;
ποῖος δὲ εἰς ὄσφρησιν ἥκων βαλσάμου

οὐ σὲ περισσέπνευσε βαλσάμου πλέον;
τίς κέδρου ὕψει καὶ πλατύνει τοὺς κλάδους,
καὶ πικρὸν ἐντίθησι τῷ ξύλῳ μύρον;
τίς νάρδον ἕψει, καὶ μειζόνως τὴν πίαν,
ἀρωματίζειν ἐκβιάζει τὴν στάχυν;
πόθεν δὲ φοῖνιξ ἐν καταξήροις τόποις
καρποὺς μελουργεῖ τῶν ἐνίκμων βοτρύων;
τίς καὶ τὰ ῥίζα ταῖς ἀκάνθαις ὁπλίσας,
συνῆψεν αὐτοῖς αὐτοχάλκευτα ξίφη;
τίς σπαργανεῖ τὰ τέκνα τῶν φυτῶν ὅλων;
καὶ τοῖς μὲν ἐντίθησιν ὀστώδη βάσιν,
οἷς ἐστὶν ἐκτὸς ἀσθενὴς ἡ γυμνότης·
τοῖς δὲ περιβάλλει στερρὸν ἔξωθεν δέρας,
οἷς ἐστὶν ἐντὸς εὐπαθὴς ἡ χαυνότης;
Τίς τῷ λέοντι θάρσος, ἢ τῇ δορκάδι
δρόμους ἐνῆκεν ἀντιφάρμακον φόβου;
Τίς ταῦρον ἐκεράτωσεν ὥσπερ ἐργάτην,
ἀροτριᾶν μέλλοντα; τίς τῶν ὀρνέων
τὴν γλῶτταν ἐσόμωσεν ὀργάνου δίκην;
ὡς, καὶ νομίζειν τοὺς κενοὺς μυθογράφους
εἶναι παρ' αὐτοῖς γνωστικὴν ὁμιλίαν;
πόθεν δὲ ὁ γρὺψ ἀσθενὲς λαβὼν κέρατος,
καὶ βοῶν αἰασπῶν ἐξ ἑτοίμων ἁρπάγαν,
καὶ πτηνὸς ἦρται καὶ βαδίζει τετράπους;
Τίς τὰς καμήλους καίπερ οὔσας ὀργίλους,
ἔπεισε μητρὸς μὴ μιαίνεσθαι γάμῳ;

καὶ

καὶ κτῆνος οὕτω βράζειν εἰς λάγνον πάθος
περὶ τὴν ἄθεσμον μίξιν ἐγκρατὲς μένον
Πέρσας ἐλέγχει τοὺς θολοῦντας τὸν βίον.
ποίοις ὁρισμοὺς ἐκμαθὼν Ἱπποκράτους,
τετρωμένος δίκταμον ἐμπατεῖν τράγος,
τὸν ἰὸν εὐθὺς τῶν βελῶν ἀποπτύει;
ποῖος Γαληνὸς ἱεράκων τὴν νόσον
ὀπῷ καθαίρει πικροφύλλων θριδάκων
ἀχλὺν δι' αὐτῶν ὀπτικὴν ἀποξέων;
καὶ πάρδαλις μὲν λύθρον αἰγὸς ἀγρίας
πίνει νοσοῦσα καὶ καθαίρει τὴν νόσον.
ὑγροῖς δὲ φύλλοις ἐκ δρυὸς καθαρσίας
χυμοὺς κάμηλος ἐξεμεῖ κεκαυμένη,
χλωρὰν δὲ τὴν ἄγρωστιν εἰ φάγει κύων,
χολῆς μελαίνης ἐξερεύγεται πάθος.
λύκοι δὲ τὴν γῆν καὶ λαγωοὶ κανθάρους·
λέων πιθήκους, οἱ δὲ κύκνοι βατράχους,
τράγοι δὲ τὴν ἄπεπτον ἀσκαμωνίαν
δειπνοῦντες, ἐκπλύνουσι τὴν ἀπεψίαν,
Ἀσκληπιοῦ δὲ τῆς νόθου θεοῦ δίχα,
τρώγων πελαργὸς οὐ νοσήσει τοὺς ὄφεις,
πόθεν κατέβλεψε πυρσὸν ἔμφυτον πνέον,
ἐκ ῥινὸς ἐμφύσημα πυρφορούμενος
κάτω τὸ ῥεῦμα τῆς πυρᾶς ἀντιστρέφει,
πόῤῥω δὲ πέμπει τὴν φορὰν ὡς τοξότης,
αἰτναίαν ὥσπερ καὶ καταῤῥυτον φλόγα,

δίκην

δίκην κεραυνῶν πυρσοβόλων ἀτμίδα;
εἰ μὴ δὲ θεσμὸν εἶχε συγκεκυφέναι,
καὶ τῆς φλογὸς τὸ βράσμα συγκινεῖν κάτω,
τὴν γῆν βαρύνειν εἶχεν ἂν τοῖς λειψάνοις.
πόθεν δὲ τὰ προύχοντα τῶν ζώων γένη
ἐκ τῶν δοκούντων μετρίων φαυλίζεται;
καὶ πᾶς μὲν ἵππος στερρομάστιγα τρέμει,
οἶστρον δὲ φεύγει ταῦρος ἐπτοημένος.
φοβεῖ δὲ τὸν λέοντα τυπτηθεὶς κύων,
ἡμᾶς δὲ κώνωψ εὐτελὴς διαστρέφει
δάκνων, προσαυλῶν, ἐξυπνίζων πολλάκις,
τῶν ἐριφαίων ἐκφοβοῦσι τὰ κέρατα
τὰ μικρὰ γρυλλίζοντα τῶν χοίρων βρέφη.
καὶ μικρὸς ὕλλος ὑγροχέρσῳ θηρίῳ
φθορὰν ἐφιστᾷ τῇ τομῇ τῶν ἡπάτων,
λάθρα γὰρ αὐτῷ προσβαλὼν κεχηνότι,
διατρέχει τὰ σπλάγχνα σωλῆνος δίκην,
τεμὼν δὲ κρυπτὴν ἐξ ὀπισθίου θύραν
φονεὺς διαδρὰς οἴχεται σεσωσμένος.
ἄλλη δέ τις πέφυκεν ὀρνέου φύσις,
ἣ τοὺς ὀδόντας βόσκεται τοῦ θηρίου,
καὶ τοῖς περιττοῖς ἑστιᾶται λειψάνοις.
στοργὴν δὲ δεικνύουσα γνωρίζει φίλου.
καὶ τῆς τραπέζης τὴν τροφὴν αἰδουμένη
ὅταν τὸν ὕλλον ἀγωνιῶντα προσβλέπῃ
κράζει, πτεροῦται, τοῖς ποσὶ περιτρέχει,

κινή-

κινῆσθαι δὲ τοῖς ὄνυξι, καὶ περὶ τοῦ φόνου
κἂν ξὺξ ὀλέθρου γίνεται ζωηφόρος.
καὶ τὴν τράπεζαν ἐξελέγχει τοὺς φίλους;
μὴ συμμαχοῦντας εἰς ἀνάγκην τοῖς φίλοις.
ἰχθὺν γὰρ οἶμαι τοὺς ἐν ὀγκώδει φύσει,
ἐκ τῶν ἀμυδρῶν συμμαχεῖσθαι σωμάτων·
ὡς μή τις αὐτοῖς τὰς ἐπαφὰς προσβλέπων
πάθοι λυγηθεὶς δυσσεβεῖς ὑποψίας.
ὃ καὶ πέπονθεν ἡ κατ' Αἴγυπτον μέθη,
οὐ τοῖς μεγίστοις ἠπατημένη μόνον
ἀλλ' ἄχρι φύλων ἑρπετῶν καὶ θηρίων,
τῆς δυσσεβείας ἐκπιοῦσα τὸν σάλον.
οἷς καὶ μαθητεύσαντες Ἑβραῖοι πάλαι,
τὸν αὐτὸν ἐζήλωσαν ἐν κακοῖς βίον,
καὶ μέχρι μυιᾶς ἐκθεοῦντες τὴν κτίσιν.
Τίς καὶ τὰ κήτη, τῆς θαλάσσης τοὺς λόφους
ἐν ταῖς ἐρήμοις τῆς ἀβύσσου συλλέγει;
μή πως ἐπεισφρήσαντα ταῖς λεωφόροις
ὁδοῖς ἀτήσῃ καὶ ταράξῃ τὰ σκάφη.
καὶ τίς τὸν ἰχθὺν τὸν βραχὺν τὸν ναυκράτην
ποιεῖ τρεχουσῶν ὁλκάδων ἀντιστράτην,
καὶ πλωτὸν ἀνόλισθον ἀνταίρειν στόλον,
καὶ ταῖς πνεούσαις ἀντιτάττεσθαι βίαις;
πτέρυξ γὰρ αὐτὸν πρὸς τὰ τοῦ στέρνου μέσα
κυκλοῖ περιπτύξασα κυμβάλου δίκην,
τὴν, ταῖς θεούσαις ἀντερείδων ὁλκάσιν,

ἱστᾷ τὸ πνεῦμα καὶ τὸ ῥεῦμα κἂν τρέχῃ,
καὶ κυρτὸν ἀφρὸν αὐτόπηκτα τῷ σάλῳ.
ἕως μαχαίραις ἢ ξυροῖς τεθηγμένοις,
τέμνει τὸν ἰχθὺν τεχνικὸς βυθοδρόμος·
ἁλοῖ τε τοῦτον ἐμβαλὼν ἐξικμάτοι,
καὶ γίνεται κλεὶς μυστικῶν σπαραγμάτων,
ὅτι σφαδάζει καὶ προσπηδῆσαι θέλει,
καὶ τοῖς ὀλίσθοις ἐκεραγλῶσαι τὸ βρέφος.
πόθεν δὲ διττοὺς ὥσπερ ἡ τρυγὼν γάμους,
τοῦ πορφυρίωνος φύσις βδελύττεται;
ἴσ. ὅς " ὡς καὶ παρ' ἡμῖν εἰσκοπήσῃ μαχλάδα,
λιμῷ τὸ σῶμα τήκεται τεθλιμμένος.
θέλων δὲ τῆς πόρνης μηδὲ τὴν θέαν ἔχειν,
ἀλάλῳ σιωπῇ σωφρονίζει τὸν βίον.

Τίς τεκνοποιεῖν δεικνύει τὴν ἐγχέλυν,
ἃ μετέχει οὖσαν καὶ ἀπορεῖς ἀλλοτρίαν;
ἢ τῶν ἑαυτῆς αἰτιπλαδαρῶν ξυσμάτων.
τὰ τμήματα σπείρουσα πετρίοις πάγοις
φύει τὰ τέκνα τῇ κυήσει τῇ ξένῃ,
καὶ πλαδιερμήτερα γίνεται θαλάττια,
καὶ μὴ λαλοῦσα δογματίζει τῇ φύσει,
ὡς οὐδὲν ἐξήμαρτε Μωσῆς, εἰ λέγει
πλαδαρὰν γενέσθαι τοῦ βίου λοχεύτριαν,
οὐ συγχύσεις γὰρ ἐγκαλεῖν ἀσυμφόρους
τῷ συντελεστῇ τῶν ἀμηχάνων θέμις·
ὑμνητέον δὲ μᾶλλον αὐτόν, ἡνίκα

τῶν

τὴν παρὰ φύσιν δημιουργεῖ τὴν φύσιν;
καὶ τοῦτο ποιεῖ δεῖγμα τῆς ἐξουσίας.
ἄϋλος ὢν ἔνυλον εἰ κτίζει φύσιν,
καὶ τρεπτὸς οὐκ ὢν τρεπτὸν εἰ ποιεῖ βίον.
Τίς ἐνδιδύσκει τὴν χελώνην ὀστράκῳ;
καὶ τὴν ταπεινόστομον ἐστεγασμένην.
δείκνυσιν ἐντὸς οἰκίας φρουρουμένην;
Τίς ἐμφυτεύσας τῇ διαυγεῖ λαμπύρῳ,
σπινθῆρα λευκὸν εὔπετον ποιεῖ σέλας;
τὸν αὐτὸν ἕρπειν καὶ πτεροῦσθαι θεσπίσας;
ποίαις δὲ πηγαῖς ἢ βυθοῖς κεκρυμμένοις
δρᾷ σαλαμάνδρα τὰς καμίνους αἰθάλην;
Τίς ἐντέθηκε τοῖς πυρεγγόνοις φρένας,
διάκρισίν τι τοῦ μαθεῖν τὸ συμφέρον;
ἐκ τῆς ῥοπῆς γὰρ τοῦ πυρὸς παρηγμένοι,
περιτρέχουσιν ὡς νεοττοὶ τὴν φλόγα,
θηλὴν ἔχοντες καὶ τροφὴν τὴν λαμπάδα,
καὶ τὴν ἑαυτῶν πυρφόρον μαιεύτριαν
ἀεὶ ποθοῦσιν, καὶ τὸ παμφάγον στόμα
μόνον παρ' αὐτοῖς γίνεται ζωοτρόφον.
Τίς τεκνοποιοὺς δεικνύει τοὺς κανθάρους,
τῶν πρὸς τὸ τίκτειν οὐχ ὑπόντων ὀργάνων;
οἱ συλλέγοντες κόπρον ἠμελημένην,
σφαιροῦσιν αὐτὴν εἰσβαλόντος Ἡλίου,
ἕως πυρωθεὶς τῶν κυλίνδων ὁ στρόφος,
ἐγκυμονήσει τὴν σπορὰν τῇ κοπρίᾳ.

οὔπω τε λοιπὸν ἐξ ἀμήτορος τόκου.

γρ. νευρογάζουσιν γονὴν νευρογήσουσιν ὠδῖνες ξένην.

ἅπερ παρελθὼν ὁ θρασὺς μυθογράφος,

* τῇ Πορφυρείᾳ γλῶσσα μὲν τεθηγμένη,

γνώμης δὲ φύσις ἀσυνετεῖν εἰθισμένης,

μύθοις ἐπεσκίρτησεν ἠπατημένοις.

λειμῶνας ὑβρῶν καὶ θερίζων τὰς βάτους,

ἐχρῆν γὰρ αὐτὸν ταῦτα μᾶλλον θαυμάσαι

© * παγγαθὲς τὸ θεῖον ὑμνῆσαι κράτος,

πῶς καὶ δι' αὐτῶν ἔρχεται τῶν ἐσχάτων:

καὶ μὴ θεοῦ μίμημα τολμῆσαι λέγειν

τοὺς κοπρεσμόχθους καὶ δυσώδεις κανθάρους.

ἐφ' οἷς δοκοῦσιν ἐκ ποδῶν ἀντιστρόφων,

τὴν σφαιροειδῆ κόπρον ἀντιστρέφειν,

καὶ πρᾶγμα ποιεῖν τῶν ἄνω κυλισμάτων,

καὶ σχηματουργεῖν οὐρανοὺς ἐκ κοπρίας.

ὦ νοῦς ἀμυδρὸς, ὦ θρασύστομος βία,

εἰ τῷ θεῷ μὲν εἷς ὑφέστηκε πόλος,

τῷ κανθάρῳ δὲ γίνεται καθ' ἡμέραν;

Τίς ἀπορῶ τοὺς γῦπας ἐξ ἀγχιτόμῳ,

σκιὰν προδεικνὺς γνωστικῆς ἀτεξίας;

οἱ τοῦ γάλακτος ἐμπεραθύτων τῶν πτέρων

(μόνοι γὰρ ἐκβλύζουσιν ὀρνίθων γάλα)

τὸν μηρὸν ἐκτέμνοντα ἡματωμένη

γάλακτος ἀλκῇ ζωπυροῦσι τὰ βρέφη.

καὶ μοι δοκεῖ τὸν γῦπα σεμνῦναι πλέον

τῇ συμπαθείᾳ τῆς γονῆς τετμημένον,
ἢ τὸν μέγιστον εἰς ἀσέλγειαν Δία,
τμηθέντα μηρὸν εἰς γονὴν ὀλεθρίαν.
Τίς πελεκάνων αἰτεῖ λόγχης τὸ στόμα,
ξένοις διωργάνωσε μακροκοντίοις,
καὶ χάσμα τούτοις ἐξανοίγει παμφάγον
πρὸς τὰς ἀπλήστους ἁρπαγὰς τῶν ἰχθύων;
ποίαν δὲ δεινότητα τὰς κόγχας ὅταν
ἐν τοῖς ἑαυτῶν συσταλῶσιν ὀστρέοις,
τέχνη διαστέλλουσιν ἠκριβωμένη;
συνημμένας γὰρ τὰς πτύχας τῶν ὀστράκων
ἀμηχάνως ἔχοντες εἰς λύσιν φέρειν,
χαλῶσιν αὐτὰς εἰς τὸ πῦρ τῶν ἐντέρων.
λύσιν δὲ πάσχει τῶν πτυχῶν ἡ στερρότης·
θᾶττον δὲ τὰς πρὶν ἐξεμοῦντες σὺν δόλοις,
γυμνῇ διαρπάζουσι τὰς σάρκας μάχῃ
τῇ θερμότητι τῶν ἔσω χαυνουμένας, γρ. χαυνουμένη.
τὴν ὀστρακώδη μὴ φοροῦντας ἀσπίδα.
Κύκνον δὲ ποῖος ἐξεπαίδευσε τρόπος,
εἰς αὔρας ἐλθεῖν μουσικῆς εὐρυθμίας;
ὃς τὴν πτεροτὴν ἐξαπλώσας πυκτίδα,
τερπνὴν ξυνεργεῖ ταῖς πνοαῖς μελῳδίαν.
τοῦτον γὰρ εἰκὸς θαυμάσαι πολλῷ πλέον,
ἢ ὀρφέα κρούοντα μυθώδη λύραν.
Τίς τὸν μεγισόφωνον ἔνδον τῆς στέγης
ἔπεισεν ὄρνιν ὡρολογεῖν εὐφρόνην

μηδὲ παρέντα περιβλέπειν τὸν ἥλιον,
καὶ τοὺς ἐνύπνους ἐξυπνίζειν ἐργάτας;
Θεὸς δὲ ποῖος τῶν Ὁμήρου πλασμάτων
γῆρας ξέει φοίνικος ἐκπυρουμένου.
λαμπρῷ δὲ τὸν γέροντα τεφρώσας τάφῳ,
ζῶντα περιβάλλει τοῦ τάφου τὰ λείψανα.
ἑλληνικοῖς Ἕλληνες ἥξαντες λόγοις,
πίθητε λοιπὸν τὴν ἀνάστασιν σέβειν.
Τίς μαντικοὺς δίδωσι τοῖς πτηνοῖς ὅρους;
μαντεύεται γὰρ ὕστερις ἐν αἰθερίοις
τῆς μακρογήρου τῆς κορώνης τὸ στόμα,
περὶ τοῦ δὲ πνεῦσαι τὰς πνοὰς προδεικνύει
ἄλλοτε κολπώσασα τὸ πτηνὸν γένος.
Ἶβις δὲ ποίων εὐπορεῖ διδασκάλων;
καὶ τοῦ Γαληνοῦ δείκνυται σοφωτέρα.
τῆς γὰρ κάτωθεν ἐμφραγείσης ἐξόδου
ἀμηχανοῦσα πῶς ἀνοίξει τὴν θύραν,
τὸν μακρὸν ἐκτείνασα λοξῶς αὐχένα.
σίφωνα γοργὸν τεκταίνει τὸ στόμα,
καὶ χυλὸν ἅλμης ἐμβαλοῦσα τοῖς ἔσω.
τὰ ξηρὰ ῥεύσεσιν ἐξεφόρτωσε βάρη.
Τίς ἀπορῶ τοὺς γῦπας ἐξάγει τόκῳ·
φυλῆς παρ᾽ αὐτοῖς οὐχ ὑπούσης ἄρρενος;
οἳ τὴν καθ᾽ ἡμᾶς πυρφοροῦσαν παρθένον,
δεικνύντες αὐτὴν ὡς ἐφικτὸν ὀρνέοις.
ἔδει γὰρ οἶμαι τοῦ τοσούτου θαύματος

ἔχειν

ἔχειν ἀμυδρὰς ἐμφάσεις καὶ τὴν φύσιν,
ὡς μήτε δόξῃ καινοτομεῖν τὸν τόκον,
μήτε πρὸς ἄκρον ἱστορεῖν τὰ τοῦ τόκου·
οὐ γὰρ μένουσιν, ὡς ἐκείνη, παρθένοι
ὅταν τὸ τεχθὲν εἰς διέξοδον δράμῃ,
ῥήξῃ τε κλεῖθρα καὶ παρέλθῃ τὰς θύρας.
εἰ δ' αἶγες καὶ τίκτουσιν ὀρνίθων γονὴν,
ἐγκυμονοῦντα τῇ φορᾷ τοῦ πνεύματος,
πῶς οὐχὶ μᾶλλον ἡ τεκοῦσα παρθένος,
τὸ πιστὸν ἕξει τῆς γονῆς τῆς ἀπόρρου,
ἐκ ζωοποιοῦ πνεύματος πληρουμένη;
Ποῖος δὲ φοίβου μαντικώτατος τρίπους
μύα διδάσκει τὸν τυφλὸν τὸν παμφάγον,
τοὺς λαβυρίνθοις ἔνδα τῶν ὀρυγμάτων
φρίττειν περὶ καιροῦ τῆς φορᾶς τῶν πνευμάτων,
τὰς ἀντιλόξους τῶν ὀπῶν διεξόδους
ἄλλας δὲ ποιεῖν ἀντισυνθέτους ὀπὰς,
τὸ χῶμα τῆς γῆς τὰς πνοὰς ἀποκρύβῃ.
ποῖος δὲ νηρεὺς τοῖς ἐχίνοις ἐνσάλοις,
προβλεπτικὰς δίδωσιν ἐν βυθῷ κόρας,
ὅπως φυγόντες πρὸ ζάλης τὰ τῆς ζάλης,
εἰς τὴν γαλήνην προσρυῶσι τῶν λίθων;
Τίς τὴν μέλιτταν τὴν σοφὴν τὴν ἐργάτιν,
γεωμετρεῖν ἔπεισε καὶ τριωρόφους.
οἴκους ἐγείρειν ἐξαγώνων κτισμάτων,
ποιεῖν δὲ τὰς σύριγγας οὐκ ἐπ' ὀρθίας

γραμμῆς διευθύνουσαν ἀλλ' ἐγκαρσίας,
μή πως ὀλισθήσωσιν οἱ κάτω πόδες.
ἐκ τῶν ἄνω γὰρ φορτικῶν βαρημάτων,
ἔτι δὲ μᾶλλον τὰς παραλλήλοις θέσεις
τῶν ἀντιλόξων κτισμάτων ἐρείσματα,
ὡς καὶ τὸν οἶκον ἑστάναι βεβηκότα.
καὶ μηδὲ χυμὸν ἐκπεσεῖν τῆς ἰκμάδος,
γεωμετρῶν ἐντεῦθεν Εὐκλείδη σκόπει.
ἴσ. περιξέσῃς καὶ σχῆμα μηδὲν γραμμικὸν" περιξέσεις,
μή πού σε κέντρον τῆς σοφῆς διδασκάλου
πλήξῃ μελίττης καὶ μαθεῖν ἀναγκάσῃ.

Τίς τοὺς ἀράχνας λεπτοδακτύλους πλάνας,
νήθειν διδάσκει καὶ πρὸς ἔργα τοὺς μίτους,
ἐκ τῶν παρ' αὐτοῖς ἐντέρων ἀναπτύειν;
ποίᾳ δὲ τέχνῃ γραμμικῇ πρὸς τὰς βάσεις
βάλλουσιν ἀρχὰς καὶ προτείνουσι θέσεις;
μέσῳ δὲ κέντρῳ τὰς ἐπάρσεις τῶν μίτων,
κύκλους ἀπαρτίζουσιν ἠκριβωμένους·
καὶ τῇ μεταξὺ τοῦ κενοῦ διαστάσει,
στύλοις ὑφαρμόζουσιν ἀντισωθέτοις·
ὅπως τὸ μηχάνημα τῆς λεπτουργίας,
ὡς ἐξ ἀράχνου πνευσθὲν μὴ συμπέσῃ·
ὃς διπλοῦν ἔργον ἐξ ἑνὸς ποιεῖ μίτου,
λίνα πρὸς ἄγραν καὶ πρὸς οἴκησιν στέγην·
ὃν ἐντρεπέσθω πᾶς τις ἀφρόνως λέγων,
ὕλην ἄναρχον εἰ γὰρ ὕλην οὐκ ἔχων

σκώληξ ὑφαίνει, τὴν μὲν ὕλην δευτέραν
προστιθέντες δὲ τοὺς ἀράχνας λεκτέον,
ὡς τῶν ἀΰλων ἀρχιτέκτονας μίτων.
Ποίου δὲ κώνωπος εὐπορήσας ὀργάνου
φωνὴν ἔχει σάλπιγγος, ἢ ποίῳ λόγῳ
ἐν σμικροτάτῃ συντεθεὶς ἀμηχάνῳ
μόρφωσιν ἴσχει καὶ πτερούμενος φέρει
στόμα, τράχηλον, ὄμμα, κοιλίαν, πόδας,
καὶ τὰς ἀδήλους τῶν ἔσω διαπλάσεις,
ἃς οὐκ ἀφῆκε ψηλαφᾶν ἡ λεπτότης.
οὐ γὰρ τοσοῦτον τῶν μεγίστων ἡ φύσις,
ὅσον τὰ μικρὰ ταῦτα τῶν ἀμηχάνων
τὴν πανσθενῆ δείκνυσι μηχανουργίαν,
πρόελθε μύρμηξ σιτοκλέπτης ἐργάτης,
τὸν κόκκον ἡμίτμητον ἐγκλείων κάτω·
μή πως νοτισθῇ καὶ σαπῇ ταῖς ἰκμάσι
καὶ φθαρτικὴν κάτωθεν αἰσθήσῃ χλόην,
ὅταν δὲ πυκναὶ τῶν νεφῶν αἱ συγχύσεις
τοῖς ἐργομόχθοις ἀντιπανδύσωσι πόνοις,
πόθεν σε μάντεις τοῦ Ζαμέλξιδος πλέον
ἕκαστος οἶδεν εὐσυνόπτως ἀγρότης,
ὅτε προδεικνὺς αἰθρίαν πεπηγμένην,
τὸν σῖτον ἁπλοῖ ἐξήγειρε πυθμένος,
εἰς ἄξυλον πῦρ εἰς τὸν ἥλιον φέρων·
ὅπως πυρωθεὶς ταῖς βολαῖς ταῖς ἐμφλόγοις,
ὡς ἄρτος ὀπτὸς εὑρεθῇ πεφρυγμένος·

ὡς καὶ φρόνησιν ἐντεθεῖναι καὶ κράτος,
ἰσχνῇ, ταπεινῇ, καὶ στενῇ διαπλάσει;
καὶ πῶς τὸ φρικτὸν οὐχ ὑπεστάλη κράτος,
ἔργοις τοσούτοις προσβαλεῖν λεπτουργίας;
Πόθεν ταὼς πρόεισιν ὡραῖος πάλιν,
ὄρνις διαυγὴς καὶ κατάστερος φύσει,
τὴν πορφύραν πτερωτὸς ἠμφιεσμένος,
ἐξ ἧς ἀλαζὼν καὶ τυφώδης τὴν θέαν
μόνος διατελεῖ τῶν ἁπάντων ὀρνέων,
ἥγ' ἐξ ἀμόχθων συμπλακεῖσα πλασμάτων
πολλὴν χύσιν ἔμιξεν αὐτῷ χρωμάτων.
Ποῖος δὲ καὶ σκώληκα σηρικῶν νόμος
πείθει τὰ λαμπρεύκλωστα νήματα πλέκειν,
ἃ τῇ βαφῇ χρωθέντας τῆς ἀλουργίδος
χαυνοῖ τὸν ὄγκον τῶν κρατούντων ἐμφρόνως,
μνήμην γὰρ αὐτοῖς ἀσφαλῶς ὑποτρέχει,
ὅτι πρὸ αὐτῶν τῆς στολῆς ἡ λαμπρότης,
σκώληκος ἦν ἔνδυμα καὶ φθαρτὴ σκέπη.
ὃς τῇ καθ' ἡμᾶς μαρτυρῶν ἀναστάσει,
θνήσκει μὲν ἔνδον τῶν ἑαυτοῦ μνημάτων,
τὸν αὐτὸν οἶκον καὶ τάφον δεδεγμένος,
σχεδὸν δὲ παντὸς τοῦ κατ' αὐτὸν σαρκίου
σαπέντος, ἢ ῥυέντος, ἢ τετηγμένου,
χρόνου καλοῦντος ἐκ φθορᾶς ὑποστρέφει.
καὶ τὴν πάλαι μόρφωσιν ἀρρήτως φύει
ἐν τῷ περιττεύσαντι μικρῷ λειψάνῳ.

πρὸς

πρὸς τὴν ἀπ' ἀρχῆς σωματουμένους πλάσιν.
κατηγορεῖ δὲ πυκνὰ τῶν πλανωμένων.
καὶ ζῶν ἐλέγχει τὴν πικρὰν ἀπιστίαν,
εἰ μὴ δὲ τοῖς σκώληξιν ὡς διδασκάλοις
πεισθεῖσα λοιπὸν τὴν ἀνάστασιν σέβειν.
ποίου γὰρ αὖ τύχωσι συγγνώμης λόγου
εἰ τοῖς ἑαυτῶν ψηλαφῶντες δακτύλοις,
σκώληκα νεκρὸν ἐκ ταφῆς ὁδοιποροῦν
βλέποντες, ἢ μύοντες εἰς ἀβλεψίαν,
τὴν πίστιν ἀντέστρεψαν εἰς ἀπιστίαν;
Πόθεν χελιδὼν ἐξ ἀομμάτου θέας,
τριήμερος πρόεισιν ὀμματουμένη,
πόαν περιτρίψασα ταῖς κόραις μύειν,
ἣν οὐκ ἀκόμψως χελιδόνιον λέγειν
κλειτοὶ παλαιῶν δογμάτων ἐθέσπισαν,
τὴν ἀξίαν λαβοῦσαν ἐκ τῶν πραγμάτων.
καὶ τῷ θέρει μὲν ὡς λύρα ῥυθμίζεται·
ὅταν δὲ χειμὼν εἰσβάλῃ, συστέλλεται·
καὶ δένδρον εὑρεῖν οἰκίαν τεχνάζεται,
καὶ σπαργανοῦται " ἐντεθεῖσα τῷ ξύλῳ, γρ. ἣν τε.
καὶ τὴν πτερωτὴν ἐκδιδάσκεται σκέπην,
αὖθις δὲ ταύτην ἀμφιέννυται νέαν,
ὡς οἷα νεκρὸς ἐκ ταφῆς ἀνηγμένη,
(ἔαρ γὰρ αὐτῇ τὴν ἀνάστασιν φέρει.)
καὶ πολλὰ κράζει καὶ λαλεῖ καθ' ἡμέραν,
εἴπερ τις ἐστὶ καὶ παρ' ὀρνέοις λόγος.

οὐ σὲ προσσέπνευσε βαλσάμου πλέον;
τίς κέδρου ὑψοῖ καὶ πλατύνει τοὺς κλάδους,
καὶ πικρὸν ἐντίθησι τῷ ξύλῳ μύρον;
τίς νάρδον ἕψει, καὶ μυρίζων τὴν πίαν,
ἀρωματίζειν ἐκβιάζεται τὴν στάχυν;
πόθεν δὲ φοίνιξ ἐν καταξήροις τόποις
καρποὺς μελουργεῖ τῶν ἐνίκμων βοτρύων;
τίς καὶ τὰ κέντρα ταῖς ἀκάνθαις ὁπλίσας,
συνῆψεν αὐτοῖς αὐτοχάλκευτα ξίφη;
τίς σπαργανεῖ τὰ τέκνα τῶν φυτῶν ὅλων;
καὶ τοῖς μὲν ἐντίθησιν ὀστώδη βάσιν,
οἷς ἐστιν ἐκτὸς ἀσθενὴς ἡ γυμνότης·
τοῖς δὲ περιβάλλει στερρὸν ἔξωθεν δέρας,
οἷς ἐστιν ἐντὸς εὐπαθὴς ἡ χαυνότης;
Τίς τῷ λέοντι θάρσος, ἢ τῇ δορκάδι
δρόμους ἐνῆκεν ἀντιφάρμακον φόβου;
Τίς ταύρων ἐκράτυνεν ὥσπερ ἐργάτην,
ἀροτριᾶν μέλλοντα; τίς τῶν ὀρνέων
τὴν γλῶτταν ἐστόμωσεν ὀργάνου δίκην;
ὥς, καὶ νομίζειν τοὺς κενοὺς μυθογράφους
εἶναι παρ' αὐτοῖς γνωστικὴν ὁμιλίαν;
πόθεν δὲ ὁ γρὺψ ἀσθενὲς λαβὼν κέρας,
καὶ βοῦν ἀνασπῶν ἐξ ἑτοίμων ἁρπάγων,
καὶ πτηνὸς ἔρχεται καὶ βαδίζει τετράπους;
Τίς τὰς καμήλους καίπερ οὔσας ὀργίλους,
ἔπεισε μητρὸς μὴ μιαίνεσθαι γάμῳ;

καὶ

καὶ κτῆνος οὕτω βράζειν εἰς λάγνον πάθος
πρὸς τὴν ἄθεσμον μῖξιν ἐγκρατὲς μένον
Πέρσας ἐλέγχει τοὺς θολοῦντας τὸν βίον.
ποίους ὁρισμοὺς ἐκμαθὼν Ἱπποκράτους,
τετρωμένος δίκταμον ἐμταγὼν τράγος,
τὸν ἰὸν εὐθὺς τῶν βελῶν ἀποπτύει;
ποῖος Γαληνὸς ἱεράκων τὴν νόσον
ὀπῷ καθαίρει πικροφύλλων θριδάκων
ἀχλὺν δι' αὐτῶν ὀπτικὴν ἀποξέων;
καὶ πάρδαλις μὲν λύθρον αἰγὸς ἀγρίας
πίνει νοσοῦσα καὶ καθαίρει τὴν νόσον.
ὑγροῖς δὲ φύλλοις ἐκ δρυὸς καθαρσίας
χυμοὺς κάμηλος ἐξεμεῖ κεκαυμένη,
χλωρὰν δὲ τὴν ἄγρωστιν εἰ φάγει κύων,
χολῆς μελαίνης ἐξερεύγεται πάθος.
λύκοι δὲ τὴν γῆν καὶ λαγωοὶ κανθάρους·
λέων πιθήκους, οἱ δὲ κύκνοι βατράχους,
τράγοι δὲ τὴν ἄπεπτον ἀσκαμωνίαν
διαπονοῦντες, ἐκπτύουσι τὴν ἀπεψίαν,
Ἀσκληπιοῦ δὲ τοῦ νόθου θεοῦ δίχα,
τρώγων πελαργὸς οὐ νοσήσει τοὺς ὄφεις,
πόθεν κατώβλεψ πυρσὸν ἔμφυτον πνέον,
ἐκ ῥινὸς ἐμφύσημα πυρφορούμενος
κάτω τὸ ῥεῦμα τῆς πυρᾶς ἀντιστρέφει,
πόῤῥω δὲ πέμπει τὴν φορὰν ὡς τοξότης,
αἰτναίαν ὥσπερ καὶ κατάῤῥυτον φλόγα,

δίκην κεραυνῶν πυρσοβόλων ἀτμίδα;
εἰ μὴ δὲ θεσμὸν εἶχε συγκεκυφέναι,
καὶ τῆς φλογὸς τὸ βράσμα συγκινεῖν κάτω,
τὴν γῆν βαρύνειν εἶχεν αὐτοῖς λειψάνοις.
πόθεν δὲ τὰ προύχοντα τῶν ζώων γένη
ἐκ τῶν δοκούντων μετρίων φαυλίζεται;
καὶ πᾶς μὲν ἵππος σφόδρα μάστιγα τρέμει,
οἴστρῳ δὲ φεύγει ταῦρος ἐπτοημένος.
φοβεῖ δὲ τὸν λέοντα τυπτηθεὶς κύων,
ἡμᾶς δὲ κώνωψ εὐτελὴς διαστρέφει
δάκνων, προσαυλῶν, ἐξυπνίζων πολλάκις,
τῶν ἐλεφάντων ἐκφοβοῦσι τὰ κράτη
τὰ μικρὰ γρυλλίζοντα τῶν χοίρων βρέφη.
καὶ μικρὸς ὕλλος ὑγροχέρσῳ θηρίῳ
φθορὰν ἐφιστᾷ τῇ τομῇ τῶν ἡπάτων,
λάθρα γὰρ αὐτῷ προσβαλὼν κεχηνότι,
διατρέχει τὰ σπλάγχνα σωλῆνος δίκην,
τεμὼν δὲ κρυπτὴν ἐξ ὀπισθίου θύραν
φονεὺς διαδρὰς οἴχεται σεσωσμένος.
ἄλλη δέ τις πέφυκεν ὀρνέου φύσις,
ἣ τοὺς ὀδόντας βόσκεται τοῦ θηρίου,
καὶ τοῖς περιττοῖς ἑστιᾶται λειψάνοις.
στοργὴν δὲ δεικνύουσα γενναίου φίλου.
καὶ τῆς τραπέζης τὴν τροφὴν αἰδουμένη
ὅταν τὸν ὕλλον ἀτνιῶντα προσβλέπῃ
κράζει, πτερῦται, τοῖς ποσὶ περιτρέχει,

κινῆθ' δὲ τοῖς ὄνυξι, καὶ περὶ τοῦ φόνου
κτῦ ξυξ ὀλέθρου γίνεται ζωηφόρος.
καὶ τῶν τραπεζῶν ἐξελέγχει τοὺς φίλους;
μὴ συμμαχοῦντας εἰς ἀνάγκην τοῖς φίλοις.
ἐχρῆν γὰρ οἶμαι τὰς ἐν ὀγκώδει φύσεις,
ἐκ τῶν ἀμυδρῶν συμμαχεῖσθαι σωμάτων·
ὡς μήτις αὐτῶν τὰς ἐπαφὰς προσβλέπων
πάθοι λησθεὶς δυσσεβεῖς ὑποψίας.
ὃ καὶ πέπονθεν ἡ κατ' Αἴγυπτον μέθη,
οὐ τοῖς μεγίστοις ἠπατημένη μόνον
ἀλλ' ἄχρι φύλλων ἑρπετῶν καὶ θηρείων,
τῆς δυσσεβείας ἐκπιοῦσα τὸν σάλον.
οἷς καὶ μαθητεύσαντες Ἑβραῖοι πάλαι,
τὸν αὐτὸν ἐζήλωσαν ἐν κακοῖς βίον,
καὶ μέχρι μιᾶς ἐκθεοῦντες τὴν κτίσιν.

Τίς καὶ τὰ κήτη, τῆς θαλάσσης τοὺς λόφους
ἐν ταῖς ἐρήμοις τῆς ἀβύσσου συλλέγει;
μή πως ἐπεισφρήσαντα ταῖς λεωφόροις
ὁδοστατήσῃ καὶ ταράξῃ τὰ σκάφη.
καὶ τίς τὸν ἰχθὺν τὸν βραχὺν τὸν ναυκράτην
ποιεῖ τρεχουσῶν ὁλκάδων ἀντιστράτην,
καὶ πλωτὸν ὀβόλιθον ἀνταίρειν στόλον,
καὶ ταῖς πνεούσαις ἀντιτάττεσθαι βίαις;
πτέρυξ γὰρ αὐτὸν πρὸς τὰ τοῦ στέρνου μέσα
κύκλοις περιπτύξασα κυμβάλου δίκην,
ἣν, ταῖς θεούσαις ἀντερείδειν ὁλκάσιν,

ἱστᾷ τὸ πνεῦμα καὶ τὸ ῥεῦμα κἂν τρέχῃ,
καὶ κυρτὸν ἀφρὸν αὐτεπικλᾷ τοῦ σάλου.
ἕως μαχαίραις ἢ ξυροῖς τεθηγμένοις,
τέμνει τὸν ἰχθὺν τεχνικὸς βυθοδρόμος·
ἁλοῖ τε τοῦτον ἐμβαλὼν ἐξικμάτοις,
καὶ γίνεται κλεὶς μυστικῶν σπαραγμάτων,
ὅτι σφαδάζει καὶ προσπηδῆσαι θέλει,
καὶ τοῖς ὀλίσθοις ἐκραγῆναι τὸ βρέφος.
πόθεν δὲ διπλοῦς ὥσπερ ἡ ζυγῶν γάμους,
τοῦ πορφυρίωνος φύσις βδελύττεται;
ἴσ. ὅς " ὡς καὶ πρὸ ἡμῶν εἰσκοπήσας μαχλάδα,
λιμῷ τὸ σῶμα τήκεται τεθλιμμένος.
θέλων δὲ πόρνης μηδὲ τὴν θέαν ἔχειν,
λάλῳ σιωπῇ σωφρονίζει τὸν βίον.
Τίς τεκνοποιεῖν δεικνύει τὴν ἔγχελυν,
ἃ μετέχει οὖσαν καὶ σπορᾶς ἀλλοτρίαν;
ἢ τὴν ἑαυτῆς αὐτοπλεύρων ξυσμάτων.
τὰ τμήματα σπείρουσα πετραίοις πάγοις,
φύει τὰ τέκνα τῇ κυήσει τῇ ξένῃ;
καὶ πλουσιωτέρα γίνεται θαλαττία,
καὶ μὴ λαλοῦσα δογματίζει τῇ φύσει,
ὡς οὐδὲν ἐξήμαρτε Μωσῆς, εἰ λέγει
πλουσίαν γενέσθαι τοῦ βίου λοχεύτριαν,
οὐ συγχυθεὶς γὰρ ἐγκαλεῖν ἀσυμφόρως
τοῦ συντελεστοῦ τὴν ἀμήχανον θέμις·
ὑμνητέον δὲ μᾶλλον αὐτὸν, ἡνίκα

τὴν παρὰ φύσιν δημιουργεῖ τὴν φύσιν,
καὶ τοῦτο ποιεῖ δεῖγμα τῆς ἐξουσίας.
ἄϋλος ὢν ἔνυλον εἰ κτίζει φύσιν,
καὶ τρεπτὸς οὐκ ὢν τρεπτὸν εἰ ποιεῖ βίον.
Τίς ἐνδιδύσκει τὴν χελώνην ὀστράκῳ;
καὶ τὴν ταπεινόστομον ἐστεγασμένην.
δείκνυσιν ἐντὸς οἰκίας φρουρουμένην;
Τίς ἐμφυτεύσας τῇ διαυγεῖ λαμπύρᾳ,
σπινθῆρα λευκὸν εὔπετον ποιεῖ σέλας;
τὸν αὐτὸν ἕρπειν καὶ πτεροῦσθαι θεσπίσας;
ποίαις δὲ πηγαῖς ἢ βυθοῖς κεκρυμμένοις
δρᾷ σαλαμάνδρα τὰς καμίνους αἰθάλην;
Τίς ἐντέθηκε τοῖς πυριγόνοις φρένας,
διάκρισίν τε τοῦ μαθεῖν τὸ συμφέρον;
ἐκ τῆς ῥοπῆς γὰρ τοῦ πυρὸς παρηγμένοι,
περιτρέχουσιν ὡς νεοττοὶ τὴν φλόγα,
θηλὴν ἔχοντες καὶ τροφὴν τὴν λαμπάδα,
καὶ τὴν ἑαυτῶν πυρφόρον μαιεύτριαν
ἀεὶ ποθοῦσιν, καὶ τὸ παμφάγον στόμα
μόνον παρ' αὐτοῖς γίνεται ζωοτρόφον.
Τίς τεκνοποιοὺς δεικνύει τοὺς κανθάρους,
τὴν πρὸς τὸ τίκτειν οὐχ ὑπόντων ὀργάνων;
οἱ συλλέγοντες κόπρον ἠμελημένην,
σφαιροῦσιν αὐτὴν εἰσβαλόντος Ἡλίου,
ἕως πυρωθεὶς τῶν κυλίνδων ὁ στρόφος,
ἐγκυμονήσῃ τὴν ἄσπορον τῇ κοπρίᾳ.

οὔπω τε λοιπὸν ἐξ ἀμήτορος τόκου.
γρ. νεωργάζουσιν γονὴν νεωργήσωσιν ὠδῖνες ξένην.
ἅπερ παρωφθὲν ὁ θρασὺς μυθογράφος,
* τῇ Πορφυρείᾳ γλῶσσα μὲν τεθηγμένη,
γνώμης δὲ φύσις ἀσυνετεῖν εἰθισμένη,
μύθοις ἐπεσκίρτησεν ἠπατημένοις.
λειμῶνας ὁρῶν καὶ θερίζων τὰς βάτους,
ἐχρῆν γὰρ αὐτὸν ταῦτα μᾶλλον θαυμάσαι
© * παγγαθὲς τὸ θεῖον ὑμνῆσαι κράτος,
πῶς καὶ δι' αὐτῶν ἔρχεται τῶν ἐσχάτων·
καὶ μὴ θεοῦ μίμημα τολμῆσαι λέγειν
τοὺς κοπρεσμόχθους καὶ δυσώδεις κανθάρους.
ἐφ' οἷς δοκοῦσιν ἐκ ποδῶν ἀντιστρόφων,
τὴν σφαιροειδῆ κάτωθεν ἀντιστρέφειν,
καὶ πρᾶγμα ποιεῖν τῶν ἄνω κυλισμάτων,
καὶ σχηματουργεῖν οὐρανοὺς ἐκ κοπρίας.
ὢ νοῦς ἀμυδρός, ὢ θρασύστομος βία,
εἰ τῷ θεῷ μὲν εἷς ὑφέστηκε πόλος,
τῷ κανθάρῳ δὲ γίνεται καθ' ἡμέραν;

Τίς ἀσπόρῳ τοὺς γύπας ἐξάγει τόμῳ,
σκιὰν προδεικνὺς γνωστικῆς ἀτεξίας;
οἱ τοῦ γάλακτος ἐμφραγμένων τῆς πτέρνης
(μόνοι γὰρ ἐκβλύζουσιν ὀρνίθων γάλα)
τὸν μηρὸν ἐκτέμνονται, ἥματα μὲν ἢ
γάλακτος ἀλκῇ ζωπυροῦσι τὰ βρέφη.
καὶ μοι δοκεῖ τὸν γῦπα σεμνῦναι πλέον

τῇ συμπαθείᾳ τῆς γονῆς τετμημένον,
ἢ τὸν μέγιστον εἰς ἀσέλγειαν Δία,
τμηθέντα μηρὸν εἰς γονὴν ὀλεθρίαν.
Τίς πελεκάνων αἰτία λόγχης τὸ στόμα,
ξένοις διωργάνωσε μακροκοντίοις,
καὶ χάσμα τούτοις ἐξανοίγει παμφάγον
πρὸς τὰς ἀπλήστους ἁρπαγὰς τῶν ἰχθύων;
ποίαν δὲ δεινότητα τὰς κόγχας ὅταν
ἐν τοῖς ἑαυτῶν συσταλῶσιν ὀστρέοις;
τέχνῃ διαστέλλουσιν ἠκριβωμένῃ;
συνημμένας γὰρ τὰς πτύχας τῶν ὀστράκων
ἀμηχάνως ἔχοντες εἰς λύσιν φέρειν,
χαλῶσιν αὐτὰς εἰς τὸ πῦρ τῶν ἐντέρων.
λύσιν δὲ πάσχει τῶν πτυχῶν ἡ στερρότης·
θᾶττον δὲ τὰς πρὶν ἐξεμοῦντες σὺν δέοις,
γυμνῇ διαρπάζουσι τὰς σάρκας μάχῃ
τῇ θερμότητι τῶν ἔσω χαυνουμένας, γρ. χαυνουμένη.
τὴν ὀστρακώδη μὴ φορούσας ἀσπίδα.
Κύκνον δὲ ποῖος ἐξεπαίδευσε τρόπος,
εἰς αὔρας ᾄδειν μουσικῆς εὐρυθμίας;
ὃς τὴν πτερωτὴν ἐξαπλώσας πυκτίδα,
τερπνὴν ξυνεργεῖ ταῖς πνοαῖς μελῳδίαν.
τοῦτον γὰρ εἰκὸς θαυμάσαι πολλῷ πλέον,
ἢ ὀρφέα κρούοντα μυθώδη λύραν.
Τίς τὸν μεγιστόφωνον ἔνδον τῆς στέγης,
ἔπεισεν ὄρνιν ὡρολογεῖν δι' εὐφρόνην

μηδὲ παρέντα περιβλέπειν τὸν ἥλιον,
καὶ τοὺς ἐνύπνους ἐξυπνίζειν ἐργάτας;

Θεὸς δὲ ποῖος τῶν Ὁμήρου πλασμάτων
γῆρας ξέει φοίνικος ἐκπυρουμένου.
λαμπρῷ δὲ τὸν γέροντα τεφρώσας τάφῳ,
ζῶντα προβάλλει τοῦ τάφου τὰ λείψανα.
ἑλληνικοῖς ἕλληνες ἥξαντες λόγοις,
πίθηντε λοιπὸν τὴν ἀνάστασιν σέβειν.

Τίς μαντικοὺς δίδωσι τοῖς πτηνοῖς ὅρους;
μαντεύεται γὰρ ὑετοὺς ἐναιθερίους
τῆς μακρογήρου τῆς κορώνης τὸ στόμα,
πρὸ τοῦ δὲ πνεῦσαι τὰς πνοὰς προδεικνύει
ἄλληθεια κολπώσασα τὸ πτηνὸν γένος.

Ἶβις δὲ ποίων εὐπορεῖ διδασκάλων;
καὶ τοῦ Γαληνοῦ δείκνυται σοφωτέρα.
τῆς γὰρ κάτωθεν ἐμφραγείσης ἐξόδου
ἀμηχανοῦσα πῶς ἀνοίξει τὴν θύραν,
τὸν μακρὸν ἐκτείνασα λοξῶς αὐχένα.
σίφωνα γοργὸν τεκτονεύει τὸ στόμα,
καὶ χυλὸν ἅλμης ἐμβαλοῦσα τοῖς ἔσω,
τὰ ξηρὰ ῥευστοῖς ἐξεφόρτωσε βάρη.

Τίς ἀσπόρῳ τοὺς γῦπας ἐξάγει τόκῳ·
φυλῆς παρ' αὐτοῖς οὐχ ὑπούσης ἄρρενος;
οἳ τὴν καθ' ἡμᾶς πυρφοροῦσαν παρθένον,
δεικνύντες αὐτὴν ὡς ἐφικτὸν ὀρνέοις.
ἔδει γὰρ οἶμαι τοῦ τοσούτου θαύματος

ἔχειν

ἔχειν ἀμυδρὰς ἐμφάσεις καὶ τὴν φύσιν,
ὡς μήτε δόξῃ καινοτομεῖν τὸν τόκον,
μήτε πρὸς ἄκρον ἱστορεῖν τὰ τοῦ τόκου·
οὐ γὰρ μιγνύουσιν, ὡς ἐκείνη, παρθένοι
ὅταν τὸ τεχθὲν εἰς διέξοδον δράμῃ,
ῥήξῃ τε κλεῖθρα καὶ παρέλθῃ τὰς θύρας.
εἰ δ' αἶγε καὶ τίκτουσιν ὀρνίθων γένη,
ἐγκυμονοῦντα τῇ φορᾷ τοῦ πνεύματος,
πῶς οὐχὶ μᾶλλον ἡ τεκοῦσα παρθένος,
τὸ πιστὸν ἕξει τῆς γονῆς τῆς ἀπόρρου,
ἐκ ζωοποιοῦ πνεύματος πληρουμένη;
Ποῖος δὲ Φοίβου μαντικώτατος τρίπους
μῦα διδάσκει τὸν τυφλὸν τὸν παμφάγον,
τοὺς λαβυρίνθοις ἔντα τῶν ὀρυγμάτων
φράττειν περὶ καιροῦ τῆς φορᾶς τῶν πνευμάτων
τὰς ἀντιλόξους τῶν ὀπῶν διεξόδους
ἄλλας δὲ ποιεῖν ἀντισυνθέτους ὀπάς,
τὸ χῶμα τῆς γῆς τὰς πνοὰς + ἀποκρύβῃ.
ποῖος δὲ νηρεὺς τοῖς ἐχίνοις ἐνσάλοις,
περιβλεπτικὰς δίδωσιν ἐν βυθῷ κόρας,
ὅπως φυγόντες πρὸ ζάλης τὰ τῆς ζάλης,
εἰς τὴν γαλήνην προσρυῶσι τῶν λίθων;
Τίς τὴν μέλιτταν τὴν σοφὴν τὴν ἐργάτιν,
γεωμετρεῖν ἔπεισε καὶ τριωρόφους.
οἴκους ἐγείρειν ἐξαγώνων κτισμάτων,
ποιεῖν δὲ τὰς σύριγγας οὐκ ἐπ' ὀρθίας

γραμμῆς διευθύνουσαν ἀλλ' ἐγκαρσίας,
μή πως ὀλισθήσωσιν οἱ κάτω πόδες.
ἐκ τῶν ἄνω γὰρ φορτικῶν βαρημάτων,
ἔτι δὲ μᾶλλον τὰς παραλλήλους θέσεις
τῶν αὐτὰ λοξῶν κτισμάτων ἐρείσματα,
ὡς καὶ τὸν οἶκον ἑστάναι βεβηκότα.
καὶ μηδὲ χυμὸν ἐκπεσεῖν τῆς ἰκμάδος,
γεωμετρῶν ἐντεῦθεν Εὐκλείδη σκόπει.
ἴσ. περιξέσῃς καὶ σχῆμα μηδὲν γραμμικὸν" περιξέσεις,
μή πού σε κέντρον τῆς σοφῆς διδασκάλου
πλήξῃ μελίττης καὶ μαθεῖν ἀναγκάσῃ.
Τίς τοὺς ἀράχνας λεπτοδακτύλους πλάτας,
νήθειν διδάσκει καὶ πρὸς ἔργα τοὺς μίτους,
ἐκ τῶν παρ' αὐτοῖς ἐντέρων ἀναπτύειν;
ποίᾳ δὲ τέχνῃ γραμμικῇ πρὸς τὰς βάσεις
βάλλουσιν ἀρχὰς καὶ προτείνουσι δέσεις;
μέσῳ δὲ κέντρῳ τὰς ἐπαφὰς τῶν μίτων,
κύκλοις ἀπαρτίζουσιν ἠκριβωμένοις·
καὶ τῇ μεταξὺ τοῦ κενοῦ διαστάσει,
στύλοις ὑφαρμόζουσιν ἀντισωθέτοις·
ὅπως τὸ μηχάνημα τῆς λεπτουργίας,
ὡς ἐξ ἀράχνου συντεθὲν μὴ συμπέσῃ·
ὃς διπλοῦν ἔργον ἐξ ἑνὸς ποιεῖ μίτου,
λίνα πρὸς ἄγραν καὶ πρὸς οἴκησιν στέγην.
ὃν ἐντρεπέσθω πᾶς τις ἀφρόνως λέγων,
ὕλην ἄναρχον εἶναι γὰρ ὕλην οὐκ ἔχων

σκώληξ ὑφαίνει, τὴν μὲν ὕλην δευτέραν
προτερεύοντας δὲ τοὺς ἀράχνας λεκτέον,
ὡς τῶν ἀΰλων ἀρχιτέκτονας μίτων.

Ποίῳ δὲ κώνωψ εὐπορήσας ὀργάνῳ
φωνὴν ἔχει σάλπιγγος, ἢ ποίῳ λόγῳ
ἐν σμικρότητι συντεθεὶς ἀμηχάνῳ
μόρφωσιν ἴσχει καὶ πτερούμενος φέρει
στόμα, τράχηλον, ὄμμα, κοιλίαν, πόδας,
καὶ τὰς ἀδήλους τῶν ἔσω διαπλάσεις,
ἃς οὐκ ἀφῆκε ψηλαφᾶν ἡ λεπτότης.
οὐ γὰρ τοσοῦτον τῶν μεγίστων ἡ φύσις,
ὅσον τὰ μικρὰ ταῦτα τῶν ἀμηχάνων
τὴν πανσθενῆ δείκνυσι μηχανουργίαν,
περιέρχεται μύρμηξ σιτοκλέπτης ἐργάτης,
τὸν κόκκον ἡμίτμητον εἰς κλειῶν κάτω·
μή πως νοτισθῇ καὶ σαπῇ ταῖς ἰκμάσι
καὶ φθαρτικὴν κάτωθεν αἰσθήσῃ χλόην,
ὅταν δὲ πυκναὶ τῶν νεφῶν αἱ συγχύσεις
τοῖς ἐργομύθοις ἀντιπανδύσωσιν πόνοις,
πόθεν σε μάντεις τοῦ Ζαμέλξιδος πλέον
ἕκαστος οἶδεν εὐσυνόπτως ἀγρότης.
ὅτε προδεικνὺς αἰθρίαν πεπηγμένην,
τὸν σῖτον ἁπλοῖ ἐξ ἐνύγρου πυθμένος,
εἰς ἄξυλον πῦρ εἰς τὸν ἥλιον φέρων·
ὅπως πυρωθεὶς ταῖς βολαῖς ταῖς ἐμφλόγοις,
ὡς ἄρτος ὀπτὸς εὑρεθῇ πεφρυγμένος.

οὐ γὰρ τοσαύτης ἦν ὁ μύρμηξ φροντίδος,
ὡς ῥυθμὸν εὑρεῖν γνωστικῆς προβλεψίας,
εἰ μή τις ἦν πρόνοια μὴ φρονεῖν μέγα
τοὺς τῶν ἐν ἄστροις αἰτιῶν ζυγοστάτας.
ἀλλ' ὥς τι καὶ μύρμηκα θαυμάζειν, ὅπως
χειμῶνα δηλοῖ καὶ προμηνύει θέρος.

Τίς ποικίλην δίδωσι τοῖς ᾠοῖς φύσιν,
μικροῖς δὲ τὰ στοιχεῖα δεικνύει τύποις,
τὸ λεπτὸν αὐτοῖς ἐμβαλὼν ὡς ἀέρα,
τὸ ξανθὸν ὡς πῦρ καὶ τὸ λευκὸν ὡς ὕδωρ,
τὸ σκληρὸν ὡς γῆν· ἀπογαιοῖ γὰρ φύσις
ἔξωθεν αὐτὸ γῆς μεσοκλήρου δίκην·
ὡς μήτε τοὺς ἔξωθεν ἐκλῦσαι τόνους,
μὴ δ' αὖ γε τοὺς ἔσωθεν ἀμβλῦναι πόρους.
ἔσω γὰρ αὐτοῖς ἀντὶ μήτρας καὶ σπορᾶς,
στιγμή τις ἐμπέφυκεν ἡματωμένη.
δι' ἧς ἐκεῖσε σωματοῖ τὰ ποικίλα
εἰς σάρκας, εἰς ὄστωσιν, εἰς πτερῶν χύσιν.

Ὡς εἴ τις εἶδε τὸν ταὼ καὶ θαυμάσει,
τὸν χρυσὸν ὡς σάπφειρον ἐμπεπλεγμένον,
καὶ τὴν πτερωτὴν ἐν σμαράγδῳ πορφύραν,
τὰς πολυμόρφους συνθέσεις τῶν χρωμάτων.
ὅλας ἀσυγχύτους τε καὶ μεμιγμένας.

Τίς ἐκστρατεύει παγγενῆ τὴν ἀκρίδα·
ἔθνος πτερωτὸν εἰς φθορὰν αἰγυπτίων,
βέλος νεφῶδες ἐξ ἀδήλου τοξότου,

λόγχην ἕτοιμον, αὐτοκίνητον δόρυ,
πυκνὴν φάλαγγα, μυριόστομον ξίφος,
πηδητικὴν ἔπαλξιν ἀστάτου μάχης.
οὐχ ἵσταται γὰρ ἀλλὰ πλήττει καὶ τρέχει·
ἕρπουσα πορθεῖ καὶ κλονεῖ πτερουμένη,
δοκεῖ δὲ φεύγειν καὶ παλίνδρομος μένει.
φθείρει πρὸ καιροῦ καὶ θερίζει πρὸ χρόνου,
τήκει τὰ δένδρα καὶ μαραίνει τὴν πόαν.
ὠμὴν ἀμέλγει τῶν ὀπῶν τὴν ἰκμάδα,
τρυγᾷ τὰ φύλλα, τὴν τρίγλην δὲ βόσκεται·
καὶ συλλέγει τὰ κῶλα καὶ τίνει πάλιν.
ὥσπερ τὰ νεῦρα τῶν βελῶν οἱ τοξόται·
καὶ τραυματεῖ τὸ σῶμα τῶν ἐναντίων,
τοῖς ἀντιλόξοις τῶν σκελῶν ἀκοντίοις.
κινεῖ τις εἰκῆ τοῦ λόγου τὸν ἄξονα;
εἰ γάρ τις οἶκον ὡραϊσμένον βλέπων
μορφαῖς ἀπαστράπτοντα κεχρυσωμέναις,
ἡρμοσμένον δὲ καὶ σιδήροις καὶ φύλοις
καὶ τῇ πενιχρᾷ τῇ πλοκῇ τῶν ὀστράκων,
σὺν τοῖς μεγίστοις καὶ τὰ μικρὰ θαυμάσει·
στέργων ἅπαντα καὶ κροτῶν τὸν ἐργάτην·
πῶς οὐχὶ μᾶλλον τοῦ παντεργάτου λόγου
μύρμηκα καὶ κώνωπα καὶ τὴν ἀκρίδα,
τὰ πάντα θαυμάσειεν ἔργα σὺν φόβῳ;
πῶς ἡ χαμαιπετὴς καὶ τοσαύτη σμικρότης,
τυχεῖν τοσαύτης ἠξιώθη φροντίδος;

ὡς καὶ

ὡς καὶ φρόνησιν ἐντεθῆναι καὶ κέρατος;
ἰσχνῇ, ταπεινῇ, καὶ στενῇ διαπλάσει;
καὶ πῶς τὸ φρικτὸν οὐχ ὑπεστάλη κέρατος,
ἔργοις τοσούτοις περιβαλεῖν λειτουργίας;

Πόθεν ταὼς περίεισιν ὡραῖος πάλιν,
ὄρνις διαυγὴς καὶ κατάστερος φύσει,
τὴν πορφύραν πτερωτὸς ἠμφιεσμένος;
ἐξ ἧς ἀλαζὼν καὶ τυφώδης τὴν θέαν
μόνος διατελεῖ τῶν ἁπάντων ὀρνέων,
ἥγ᾽ ἐξ ἀμόχθων συμπλακεῖσα πλασμάτων
πολλὴν χύσιν ἔμιξεν αὐτῷ χρωμάτων.

Ποῖος δὲ καὶ σκώληκα σηρικῶν νόμος
πείθει τὰ λαμπρὰ ἐκκλῶσα νήματα πλέκειν,
ἃ τῇ βαφῇ χρωσθέντας τῆς ἁλουργίδος
χαυνοῖ τὸν ὄγκον τῶν κρατούντων ἐμφρόνως,
μνήμην γὰρ αὐτοῖς ἀσφαλῶς ὑποτρέχει,
ὅτι παρ᾽ αὐτοῦ τῆς στολῆς ἡ λαμπρότης,
σκώληκος ἦν ἔνδυμα καὶ φθαρτὴ σκέπη.
ὃς τῇ καθ᾽ ἡμᾶς μαρτυρεῖ ἀναστάσει,
θνήσκει μὲν ἔνδον τῶν ἑαυτοῦ μνημάτων,
τὸν αὐτὸν οἶκον καὶ ταφὴν δεδεγμένος,
σχεδὸν δὲ παντὸς τοῦ κατ᾽ αὐτὸν σαρκίου
σαπέντος, ἢ ῥυέντος, ἢ τετηγμένου,
χρόνου καλοῦντος ἐκ φθορᾶς ὑποστρέφει.
καὶ τὴν παλαιὰν μόρφωσιν ἀῤῥήτως φύει
ἐν τῷ περιττεύσαντι μικρῷ λειψάνῳ.

πρὸς

πρὸς τὴν ἀπ' ἀρχῆς σωματουμένους πλάσιν.
κατηγορεῖ δὲ πυκνὰ τῶν πλανωμένων.
καὶ ζῶν ἐλέγχει τὴν πικρὰν ἀπιστίαν,
εἰ μὴ δὲ τοῖς σκώληξιν ὡς διδασκάλοις
πεισθεῖσα λοιπὸν τὴν ἀνάστασιν σέβειν.
ποίαν γὰρ αὖ τύχωσι συγγνώμης λόγου
οἱ τοῖς ἑαυτῶν ψηλαφῶντες δακτύλοις,
σκώληκα νεκρὸν ἐκ ταφῆς ὁδοιποροῦν
βλέποντες, ἢ μύοντες εἰς ἀβλεψίαν,
τὴν πίστιν ἀντέστρεψαν εἰς ἀπιστίαν;
Πόθεν χελιδὼν ἐξ ἀομμάτου θέας,
τετμημένους πρόεισιν ὀμματουμένη,
πόαν προτείνασα ταῖς κόραις μύειν,
ἣν οὐκ ἀκάμψως χελιδόνιον λέγειν
κεῖται παλαιῶν δογμάτων ἐθέσπισαν,
τὴν ἀξίαν λαβοῦσαν ἐκ τῶν πραγμάτων.
καὶ τῷ θέρει μὲν ὡς λύρα ῥυθμίζεται·
ὅταν δὲ χειμὼν εἰσβάλῃ, συστέλλεται·
καὶ δένδρον εὑρεῖν οἰκίαν τεχνάζεται,
καὶ σπαργανοῦται " ἐντεθεῖσα τῷ ξύλῳ, γρ. τὴν
καὶ τὴν πτερωτὴν ἐκδιδάσκεται σκέπην, τε.
αὖθις δὲ ταύτην ἀμφιέννυται νέαν,
ὡς οἷα νεκρὸς ἐκ ταφῆς ἀνηγμένη,
(ἔαρ γὰρ αὐτῇ τὴν ἀνάστασιν φέρει.)
καὶ πολλὰ κράζει καὶ λαλεῖ καθ' ἡμέραν,
ἔπτερης ἐστὶ καὶ παρ' ὀρνέοις λόγος.

ἄνθρωπε ἡμῶν τὴν ἀνάστασιν μάθε,
λάλον θεωρῶν ἐκ ταφῆς χελιδόνα.

Τίς τὸν σπαρέντα σῖτον ἐκ τῶν ἐγκάτων
τῆς γῆς ἀνίστησι καὶ τὸν ὥσπερ ἐν τάφῳ
φθαρέντα κόκκον μυελόσταχυν φέρει;
οὐ τοῖς σοφισταῖς ὡς δοκεῖ τῶν πλασμάτων,
ὕπαρξιν ἄλλου τὴν φθορὰν ἄλλου λέγειν,
οὐδ᾽ ὡς λέγουσιν ἐκ μὲν ἵππου σήψεως
σφηκῶν κίνησιν, ἐξ ὄνου δὲ κανθάρων.
ἡ τοῦ φύσεως γὰρ ταυτότης οὐκ ἠλλάγη,
ἀλλ᾽ αὐτὸς ἐστὶ τοῦ φθαρέντος ὁ σπόρος,
πρὸς ἥν περ εἶχεν οὐσίαν ἀναστρέφει.

Τίς τῶν παρ᾽ ἡμῖν τεκνοποιῶν σπερμάτων,
τὴν σῆψιν εἰς σύμπηξιν ὀστώδη πλέκει;
εἰ μὴ σπαρεὶ γὰρ καὶ παρ᾽ ἡμῖν ὁ σπόρος,
ὡς σῶμα νεκρὸν ἐνταφεὶς τῇ κοιλίᾳ,
οὐ σωματοῦται τῇ κυήσει τὸ βρέφος,
εἰς δέρμα καὶ νεῦρ᾽ ἔρσιν ὀργανούμενον.
τίς οὖν τὸ τοῦ κτίσαντος οὐ φρίττει κράτος,
γρ. φρίτ- τον — εἰ καὶ τὸ πρῶτον καὶ πάλιν τὸ δεύτερον
δείκνυσιν ἡμᾶς ἐκ φθορᾶς ζωουμένους,
ἀλλ᾽ ἔστιν ἡμᾶς ἀντιτύπους εἰκόνας
τῇ φωταγωγῷ τῶν νεκρῶν ἀναστάσει,
καὶ μέχρι δεῖξαι τῶν παρ᾽ ἡμῖν τραυμάτων
στῆσαί τε τοὺς μώλωπας ἀντὶ μαρτύρων,
ἠχητικῆς σάλπιγγος εὐσημοτέρους.

ὅταν

ὅταν γὰρ ἰχὼρ σηπτικὸς παρεμπέσῃ,
σύριγγα τίκτων ἐκ νομῆς πυροστρόφου.
οὐκ ἄν τις εὕροι τοῦ σεσηπότος μέλους
τὴν ὥσπερ εἰπεῖν ἐκ μέρους ἀνάστασιν,
εἰ μὴ ῥυῇ τὰ πρῶτα καὶ λύσιν πάθῃ,
ἢ παντελῆ" σύνταξιν ἐκ φθορᾶς λάβῃ ἴσ. συν-τῆξιν
τῆς ἔνδον αὐτοῦ σαρκὸς ἠφανισμένης.
οὕτω γὰρ αὖθις γίνεται σεσωσμένος,
πυρὶ στομωθεὶς ἢ διαιρεθεὶς ξίφει,
ἢ καὶ μελικράτῳ τε καί τινι δρόσῳ,
πρὸς τὴν ἰατρεύουσαν ἀρρήτως κρίσιν,
στύφουσαν, ἢ ψύχουσαν, ἢ καθαρσίαν
εὑρὼν ἐκείνου τοῦ μέλους ἀνάστασιν.
πῶς οὖν μελίκρατόν τε καὶ πῦρ καὶ ξίφος
καὶ μὴν ὀπὸς, καὶ ῥίζα, καὶ χοῦς, καὶ δρόσος
εἴργει τὸ ῥεῦμα καὶ τὸ δέρμα συλλέγει·
ἢ τὴν παλαιὰν σάρκα περισκαλουμένη,
ἢ σῶμα περιπλάσασα τὸ πάλαι νέον·
ὁ δὲ πλάσας τὸ σῶμα μὴ συναρμόσει
ῥυὲν τὸ σῶμα κἂν σαπῇ κεχωσμένον;
ἢ τὴν παλαιὰν δερματώσας οὐσίαν,
ἢ τῷ φθαρέντι καὶ σαπέντι σαρκίῳ
χιτῶνα λεπτὸν ἐμβαλὼν ἀφθαρσίας;
ποίας δὲ καὶ τύχωμεν εὐπιστίας
εἰ τοὺς ἰατροὺς τοῦ γεώδους σαρκίου,
ἄγειν ἐῶμεν καὶ φέρειν τὰ σώματα,

ὡς αἳ δοκῶσι κἂν δοκῶσι χρεόνως,
μηδὲν δὲ δεόμενον τοῦ Γαληνοῦ τῶν ὅλων
ψυχῶν ἰατροῦ πρὸς φιλάνθρωπον τέλος,
τῷ σῶμα νεκρώσαντι τῆς ἁμαρτίας,
ὑπνωτικὸν δὲ φάρμακον δεδωκότι,
ὅπως τὸ ῥευστὸν τῆς φθορᾶς ἀποξέσας
ἄφραστον ἡμῶν ἐξεγείρῃ τὴν φύσιν;
ἢ πῶς ὁ τοῦ μανέντος ἐμμανὴς λόγος
λυττᾷ καθ' ἡμῶν καὶ λαλεῖ πεφυρμένα,
ὡς εἴγε ταυτὸν ἐξεγείρεται πάλιν,
τὸ σῶμα τοῦτο καὶ φθαρήσεται πάλιν,
χολὴν ἔχον καὶ φλέγμα καὶ λύσιν μάχης·
καί περ θεωρεῖν τῶν ἑαυτοῦ αἱμάτων
τὴν σηπτικὴν σύειγγα, τοὺς χυμοὺς ὅλους·
ὡς πρὸς μάχην θήγουσαν αἰθωπλισμένην,
χολῆς μελαίνης καὶ χολῆς ξανθοπλόκους
καὶ φλέγματος πρὸς αἷμα συμπεπλεγμένας,
καὶ συρρευέντων καὶ πεφυρμένων ὅλων
μάχην θεωρεῖν ἢ μὴ θεωρεῖν τὴν λύσιν,
καὶ μηδὲ τοῖς μώλωψι παθεῖν αὖ θέλων·
ὡς καὶ σαπέντων ἐκ φθορᾶς τῶν ὀργάνων,
ἄσπιλον αὐτοῖς ἀντεγείρεται δέρας·
καὶ συμβιβασμὸς γίνεται τῶν σχισμάτων,
ἐκ τῆς παρ' αὐτῆς ὡς νομίζουσι μάχης.
ἢ πῶς φυλαχθῇ τῶν λογικῶν ῥημάτων
σύμπνοια καὶ σύρραια τῶν ὅλων μία.

εἴπερ τὸ σύμπαντων χρῖσμα γίνεται μάχης,
ἢ πῶς τὸ ῥᾷστον εὑρεθῇ πεπηγμένον,
εἰ μὴ παρέλθης τῆς ἀναγκαίας μάχης,
θάλψει τὸ φλέγμα τῆς χολῆς ἡ θερμότης·
ἢ συγκερασθῇ θερμότητι ψυχρότης,
ἢ ξηρότης ἔνικμον ἁρπάσῃ μάχην.
οὐ κυρίως οὖν ἐστὶν ἡ μάχη μάχη,
συνεκτικὴ δὲ μᾶλλον ἢ τοὐναντίον
χωριστικὴ πέφυκε τῶν ἡρμοσμένων.
σφίγγουσι τὴν σύμπηξιν ″ ἄκρετον δέσιν, γρ. ἄχρι τὴν
″ λυγοῖ τὸ τοῦ σφίγματος ἀρρήτως κράτος, ἰσ. λύει
ὡς γάρ τις οἶκον δημιουργῆσαι θέλων,
καὶ σφῆνα πήξας σφαιροειδοῦς θέτου στέγης,
οἶδεν μόνος τὸ σφίγμα καὶ λύει μόνος.
οὕτως ὁ τὴν ἔνσαρκον οὐσίαν κτίσας,
ὅταν δέῃ τὸν οἶκον ἐλθεῖν εἰς λύσιν·
οὐ φλέγμα κινεῖ καὶ χολὴν πρὸς τὴν λύσιν,
ὡς ἐνδεὴς ὢν ὑλικοῦ παρεργάτου·
ἀλλ᾽ ἐκβαλὼν τὸν σφῆνα τὸν ψυχοκράτην·
ὡς οἶδεν ὡς ἔσφιγξε καὶ λύει μόνος.
ὅταν δὲ τὴν σύμπηξιν ἁρμόσαι θέλοι,
(κτίσαι γὰρ αὖθις βούλεται τὴν οἰκίαν ἰσ. καὶ τὴν χο-
πτῶσιν παθοῦσαν ἐξ ἀδήλων αἰτιῶν) λὴν καὶ
″ καὶ χολὴν καὶ πνεύματα καὶ πάλιν βάλλει φλέγμα
ἄσβεστον ὥσπερ συμβιβάζων ὀστράκῳ, συμβάλ-
(χυλοὶ γάρ εἰσι καὶ μέρη τοῦ κτίσματος) λει πά-
λιν

τὸν σφῆνα πήξας ὥς τε λῦσαι μηκέτι,
ἄφθαρτον ἡμῶν ἐξεγείρει τὴν φύσιν.
πλὴν ταῦτα πρὸς μανέντα τὸν μεμηνότα,
ἡμεῖς γὰρ ἴσμεν ὡς ἐν ἀλλαγῇ δέον
τὸ θνητὸν ἡμῶν τοῦτο προσλαβεῖν δέρας,
ὃ σπείρεται μὲν ἐν φθορᾷ τεθαμμένον·
ἀνίσταται δὲ τῆς φθορᾶς ἀντιστρόφως
ἄφθαρτον ὡς ἔδοξε τῷ παντεργάτῃ.
οὕτως ὁ πλάστης κἄν τε χυλῶσαι θέλῃ
τὸ σῶμα τοῦτο, κἄν τε λεπτῦναι πλέον·
ὅπως ἄσηπτον τῶν σαπέντων τὴν φύσιν,
ὡς θαῦμα νεκρὸν δέρματι καὶ συλλέγῃ.
ἀρκεῖ γὰρ αὐτῷ πρὸς τὸ σαρκῶσαι λόγος,
τὴν γῆν ἐρευνῶν καὶ τὰ κύματα βλέπων.
καὶ συλλέγων τὰ κῶλα τῶν κοιμωμένων,
καὶ κἄν τις ὠμόσαρκον ἀνθρώπου κρέας
ἰχθὺς ἁρπάζοι καὶ τὸν ἰχθὺν ἀγρότης,
καὶ τοῦτον ἄρκτος, καὶ τὸ θηρίον κύνες,
γύπες δὲ τούτους, τοὺς δὲ γύπας οἱ τάφοι,
καὶ πᾶσαν ἁπλῶς αἰθυποδράμοι φύσιν,
εἰς ἀλλοφύλους ἀντικλώμενος ῥύσεις,
ὅμως ἔσω πέφυκε τῶν ὁρισμάτων,
τῇ χειρὶ τοῦ κτίσαντος ἐσφραγισμένος.
οὐκοῦν ἐάν τις χειρὸς δ᾽ εὐτελεστάτης
τοὺς πενταχέρδους ἐξαπλώσας δακτύλους,
κριθάς, ὀλύρας, κέγχρον, ἢ σῖτον λάβοι.
ἢ πλῆ-

ἢ πλῆθος ἁπλῶς ὀστείων πεφυρμένων
οἶδεν διαιρεῖν καὶ μερίζειν εὐθέτως,
ἐκεῖνο τούτῳ καὶ συνάπτειν τὰς φύσεις,
καὶ ῥᾷστα συντίθησι πρὸς γένει γένος·
πῶς καὶ λιθώδης οὐ συνῆσει καρδία,
ἐν χειρὶ τοῦ κτίσαντος οὖσαν τὴν κτίσιν,
ἐν τῇ καθ᾽ ἡμᾶς συνδραμεῖν ἀναστάσει,
καὶ συγκομίζειν ὥσπερ" ἄλλος τοὺς φόρους. ἰσ. ἀγρὸς
ἐκεῖθεν ἔνθεν τὰς φορὰς τῶν λειψάνων,
ἀρτηρίας καὶ νεῦρα, σάρκας καὶ φλέβας,
καὶ παντὸς ἄρθρου συλλογὴν κεκρυμμένου,
συνεισάγειν τε τὰς ἑκάστου λοιπάδας.
(εἰσὶν γὰρ ἄχρι καὶ τριχὸς γεγραμμέναι)
φέρειν τε πᾶσαν ἐναπόγραφον φύσιν
τῇ πρὸς τὸν αὐτῆς δεσπότην παραστάσει,
ὅπως ὑφέξει τοῖς ἐπείκταις ἀγγέλοις
τοὺς συλλογισμοὺς τῶν χρεῶν καὶ τῶν τόκων,
καὶ τὰς ἀπαρχὰς τῆς γεώδους καρδίας,
σπόρου τε καρπὸν καὶ σπορᾶς ἀκαρπίαν,
ζυγοῦ τε λεῖμμα καὶ ῥοπῆς εὐσταθμίαν,
καὶ πᾶσαν ἁπλῶς ψυχικὴν λειτουργίαν
οὕτως ἑαυτὸν ταῖς ἐνεργείαις ἔθου
γνωστὸν παρ᾽ ἡμῖν καίπερ ὢν κεκρυμμένος.
ὅσον γὰρ ἡμᾶς τῶν ὑπερτέρων νόων
ὑπερβέβηκεν ἡ θεόπνους ἀκρότης,
τοσοῦτον αὐτὰς αἱ μέσαι καὶ τὰς μέσας

τρίτη τις ἄλλη τάξις ἀρχικωτέρα,
ἣ μᾶλλον ἐμπέφυκε τῇ πανομμάτῳ·
καὶ τῇ περισσότητι τοῦ τάχους ἐπεκτάσει
ἢ πρὸς τὸ θεῖον ἀσυγχύτως ἀκρότης.
ὅσον γὰρ ἐγγίζουσι, τὰς ἀποστάσεις
ποιοῦσι μείζους· καὶ ξενοτρόπῳ λόγῳ
τὰς προσθέσεις ἔχουσιν ὡς ἀφαιρέσεις.
εἰ γὰρ τὸ τῆς γῆς τοῦτο πῦρ ἀποβλέπων
πόρρωθεν ἑστὼς θέλγεται πρὸς τὴν θέαν,
ἀφίσταται δὲ τῇ φλογὶ προσεγγίσας:
πῶς πρὸς τὸ πῦρ ἐκεῖνο τῆς ἀφλεξίας,
ᾧ μᾶλλον ἐγγὺς καὶ πέφυκεν ἄγγελος,
μὴ μᾶλλον ἐκστῇ καὶ διαστῇ τῷ φόβῳ;
ἐν πυρσοφεγγεῖ καὶ θεοκρυφεῖ γνόφῳ
ἀφεγγὲς ἱερὰν καὶ τὸ πῦρ καὶ τὴν φλόγα;
ἐντεῦθεν ὡς ἔοικεν ἐγγίζει πλέον
ἡ τῶν χερουβὶμ ὀμματόπληκτος φύσις,
βλέπουσα καὶ μύουσα τὸ βλέπειν πλέον.
φρικτὸν γὰρ ἐντέθεικε τῇ κτίσει φόβον
ὁ πρῶτος εἰς γῆν ἐκπεσὼν ἑωσφόρος,
βλέπων ἀμέτρως καὶ παθὼν τὸ μὴ βλέπειν,
ὡς μηδὲν εἶναι παντελῶς αἰτημένον,
ἢ τῆς παναρκοῦς καὶ σοφῆς ἐποψίας
τοῦ δημιουργήσαντος ἐξῃρημένον.
εἶναι δὲ πάντα πρός τι χρήσιμον τέλος,
καὶ μέχρι χόρτου καὶ φυτῶν καὶ θηρίων,

καὶ τῶν ἀφώνων τῆς θαλάσσης ἰχθύων,
καὶ τῶν ἀπ' αὐτῆς ἐκφυέντων ὀρνέων.
φθάσαι δὲ μέχρι τῶν ἀποκρότων λίθων,
τὴν συντομουργὸν τοῦ θεοῦ λεπτουργίαν.
εἴπερ "νόμος μὲν ἐξελαύνεται λίθῳ, ἴσ. ἰομὸς
"ἄλλη δὲ τὸν σίδηρον ἀνθέλκει λίθος. ἴσ. ἄλλος
ἄλλοι δὲ πυρσοὺς ἀντανάπτουσι λίθοι,
οὐκ οἶδα πῶς ἔξωθεν ἐξωθούμενοι.
καὶ τοὺς κεραυνοὺς ἄλλος ἀμβλύνει λίθος,
καὶ πῦρ νόθον σβέννυσιν ἐξηρτημένος,
οὐχ ὡς λίθος δρῶν· ἀλλ' ὅπως μάθῃς ὅτι,
θεοῦ θέλοντος ὠφελοῦσι καὶ λίθοι.
καὶ τὴν δι' αὐτοὺς ἐντροπὴν δεδοικότες,
πειθώμεθα ἡμεῖς ὠφελεῖν κἂν ὡς λίθοι.
εἴργει δὲ βῶλος αἱματόπτυσον χύσιν,
πηλὸς δὲ σωτὴρ γίνεται δυσεντέροις.
ἄνθος δὲ χόρτου πάσμα γίνεται πάθους,
ὀπὸς δὲ ῥίζης φάρμακον καθάρσιον.
σταγὼν δὲ κέδρου κνησμονὴν ἀποξέει,
ἐπωφελὴς δὲ πικρότης ἀψινθίου
ὑπεργλυκάζον εἰς ἐπίστασιν μέλι.
καὶ τῶν βάτων δὲ τῶν ἀκάρπων οἱ κλάδοι
οὓς ποικίλους φύουσι τοὺς ἱπποκράτους,
καὶ τοὺς ἀκάρπους μὴ φοβούμενοι νόμους.
ἐκ τῶν ἀκανθῶν γίνεται σωτηρία.
καὶ τέφρα καὶ χοῦς ὠφελοῦσι καὶ τρίχες.

τοῖς γὰρ παθοῦσιν ἐκ κρύους ἀβλεψίαν,
καπνὸς Γαληνὸς γίνεται παρ' ἐλπίδας.
νάρκη δὲ ναρκοῖ τὰς ἁφὰς τῶν ὀργάνων,
ἔστι γὰρ ἔνδον τις χάρις καὶ τῆς νάρκης.
στέαρ δὲ φώκης φλεγμονὰς οἰδημάτων
σβέννυσιν ὥσπερ τὰς καμίνους ἡ δρόσος.
καὶ συμφλεγέντων ἱπποκάμπων αἰθάλη
σφίγγει τρεμούσας ἐκρυῆναι τὰς τρίχας.
τρυγὼν δὲ παύει τῶν ὀδόντων τοὺς κλόνους,
ὡς ἐν ταλάντῳ τεχνικὸς ζυγοστάτης
τὸ κέντρον αὐτῆς ἐντιθῆσα τοῖς πόνοις,
καὶ βρῶσις ἁπλῆ τοῦ σκάρου τῶν ἐντέρων
ὄχημα γαστρὸς γίνεται πεφραγμένης
φθίσιν δὲ καὶ χίμετλα καὶ τῶν σκορπίων
φθάνει τὰ κέντρα καὶ καταψύχει πόνους
τοὺς λυσσοδήκτους. τοὺς δὲ καρκίνους ξέει
καρκῖνος ἐλθὼν ἐκ βυθοῦ θαλαττίου.
σοφίζεται δὲ καὶ πρὸς ἄγραν ὀστρέων.
ψάμμον γὰρ αὐτοῖς ἐμβαλὼν χασμωμένοις,
εἴργει συνελθεῖν τὰς λαβὰς τῶν διπτύων.
ἀνειμένων δὲ τῶν θυρῶν ὁ τοῦ σάλου
κλέπτης ἀνασπᾷ τὴν τροφὴν κεκρυμμένην.
 Ἰχθὺς δὲ πνεύμων τοῖς σάλοις ἐπιπνέων,
ᾧ μηδέν ἐστιν ἐμφερὲς πρὸς ἰχθύας.
ἄμορφος εἰκὼν, δυσδιάγνωστος θέα,
ἔμψυχος οὐκ ἔμψυχος, ἀλλ' εἰκῇ μόνον

δοκῶν

δοκῶν ἑαυτὸν ἐξαπλοῦν καὶ συλλέγειν,
τὰς δυσκαθέκτους τῶν ποδῶν ὑπερζέσεις
ὡς οὐδὲν ἄλλον συντριβεὶς ἀποτρέπει,
καὶ νεῦρα μὲν παθέντα συστολῆς βίᾳ
λέοντος ὡς λέγουσιν εὐρύνει στέαρ,
πάθους δὲ λύτρον αἷμα γίνεται τράγου.
καὶ τοὺς κερχάσας εὐλαβεῖται κανθάρεις
τὸ φλεκτικὸν πῦρ τοῦ τεταρταίου τρόμου.
καὶ τῇ χροώδει τῶν μυώπων αἰθάλῃ
τὸ τῶν μυώπων ἐξορίζεται πάθος.
οὐ φείδεται γὰρ συλλαβῆς ὁμωνύμου,
εἰς ζῆλον ἔργου συγκρατουμένη φύσις.
εἰσὶ δὲ καὶ γῆς καὶ θαλάσσης κοχλίαι,
μικροὶ μεγίστων συμφορῶν εὐεργέται.
ὧν εἰ τεφρώσεις τὴν δορὰν τῶν ὀστράκων,
ἄλφους ἀναιρεῖς, εἰ δὲ συμπλέξας μέλι
τὴν ξηρὰν ὑγρᾷ στοιχειώσεις αἰθάλην,
οἴδημα γαστρὸς καὶ ποσῶν ἐπιρρύσεις.
νεῦρόν τε πληγὰς καὶ ζοφώσεις ὀμμάτων,
καὶ τὴν πρὸς ῥινῶν αἱματόρροιαν σβέσεις.
καὶ θαυμάσας τὸ θεῖον ὑμνήσεις κράτος,
βαλὼν ἓν ἀντίφραγμα μυρίαις νόσοις.
πόθεν δὲ καὶ πῶς ταῦτα γίνηται θέλων
εἰπεῖν, ἀπερμάτιστον ἀντλήσεις βάθος.
καὶ τῶν ἀναγκαίων γὰρ ὤσφασι πόρων
ὁ βλέννος εἴργει τὰς ἀκουσίας ῥύσεις.

γύπου δὲ γλῶσσα προστεθεῖσα νηπίοις
λύει τὰ κλεῖθρα τῆς ἀφώνου γλωσσίδος.
λίθους τε τέττιξ τῶν ποδῶν περιγλύφει,
ὅπως λιθουργὸς εἰς περίστασιν πόνει.
καὶ ψυχρὸς ἰὸς θερμὸν ἔσβεσεν πάθος,
ὅπου δὲ θερμὸς ψυχρὸς ὤκλασεν πόνος.
καὶ σὰρξ ἐχιδνῶν ἀντιφάρμακος δέσις,
καὶ σφίγμα σαρκὸς γίνεται λωβουμένης.
τὸν ῥοῦν γὰρ ἱστᾷ καὶ τὸν ἰχῶρα ξέει,
καὶ σωματουργεῖ τὰς ῥεούσας εἰκόνας.
μορφοῦσα τὰ πρόσωπα τῆς ἀμορφίας:
καί που τινὲς λέγουσιν ὡς φρικτοῦ πάθους
εἰς λοιμὸν εἰσφρήσαντος ἐν δρόμῳ ζέσει,
πνέοντος αὔραν τοῦ νοσοῦντος ἐσχάτην
ἤδη παρ' αὐτὰς τῆς ταφῆς τὰς εἰσόδους,
γρ. σκορ τὸ κέντρον ἐνθεὶς ἐξ ἀδήλου" σκορπίος,
πίου. ἰδὼν τὸν ἰὸν ἀντιτάξαι πρὸς μάχην,
ἤμβλυνεν, ἢ μᾶλλ' ἔσωσε σὺν κράσει ξένῃ,
γρ. ἀκρό ψύξιν λαβὼν ἄπληστον" ἀκράτῳ ζέσει,
τῳ οὕτως ἕκαστα συμφερόντως ἡ χάρις,
καὶ πρός τι ῥυθμίσασα τῶν ἀγωγίμων,
οὐδὲν περιττὸν οὐδὲ λεῖπον εἰσάγει·
καὶ μέχρι φλοιῶν καὶ τριχῶν καὶ δακρύων,
καὶ μέχρι πηλοῦ καὶ καπνοῦ καὶ κοπρίας.
εἰ καὶ τὰ μὲν λέληθεν ἠγνοημένα,
τὰ δὲ πρόδηλον εὗρε τὴν εὐχρηστίαν.

ὡς

ὡς πρός τι φαῦλα μηδαμῶς λοιπὸν λέγειν,
ἀστεῖα πάντα καὶ καλῶς εἰργασμένα.

Τίς γὰρ θεωρῶν βότρυν οὐ καταπλάγη
τὸν δόντα θερμὴν ὑγρότητα τῷ ξύλῳ;
καὶ πῶς τὰ φύλλα τὰς ἑτοίμους εἰς ῥύσιν
ῥᾶγας περιπτύσσουσι, μὴ βροχῆς βίος
πλήξῃ τὸ χαῦνον, ἢ φλογώδης ἡλίου
φρύξασα θέρμη τοὺς ὀποὺς ἐξικμάσῃ.

Τίς δέρμα ῥοιᾶς εὐδιαιρέτους σχίσας,
καὶ τὴν θέσιν γνοὺς τῶν ἐνύγρων ἀνθράκων,
καὶ πῶς ἑκάστῳ συντεθέντι χωρίῳ,
φραγμὸς μεσάζει καὶ μερίζει τοὺς ὅρους
ὑμὴν φλογώδης λεπτὰ τείνων σπαρτία,
μή πως βαρυνθῇ τῶν ὀπῶν ἡ χαυνότης,
καὶ θλίψιν ἕξῃ τῇ δέσει τοῦ σφίγματος,
κἀντεῦθεν ἰκμὰς τῆς ὀπώρας ἐκπέσῃ,
σήψῃ τε κόκκος ἄλλος ἄλλον ἐκρέων,
οὐ τὴν ὑπὲρ νοῦν ἐννοήσας αἰτίαν,
πρὸ τοῦ φαγεῖν ὑμνῆσαι τὸν παντεργάτην;
ὁ νοῦς γὰρ εὐθὺς ὡς ταχύδρομος φύσει
ἀφεὶς τὸ θαῦμα πρὸς τὸν αἴτιον τρέχει.

Τίς ἐμφυτεύσας τῷ βυθῷ πηκτὸν γάλα,
τοὺς μαργαρίτας " λευκοχρόους ἐκτρέφει; γρ. λευκοδρόμους
πόθεν χλοάζει τῶν σμαράγδων ἡ φύσις,
εἰς πάντα καιρόν; οὐ γὰρ εἰς ἔαρ μόνον.

Τίς αὖθις ἐντέθηκε σαπφείρῳ λίθῳ.

εἰ μη-

εἰ μηδὲν ἄνθος ἐν λίθῳ φυτεύεται;
Πόθεν πυραυγὴς ἡ βαφὴ τῶν ἀνθράκων,
εἰ ψυχρότητι πᾶσα πήγνυται λίθος;
τίς ταῦτα ποιεῖ καὶ συνιστᾷ καὶ τρέπει,
εἰ μὴ τὸ σὸν βούλημα καὶ τὸ σὸν κράτος,
τὰ πάντα δρῶντος ὡς δοκεῖ σοι καὶ θέλεις;
τὸ σὸν γὰρ εἰς ἄπειρον ἐκτείνας κράτος,
φαίνῃ, καλύπτῃ, καὶ περιέρχῃ, καὶ μένεις.
στάσει τρεχούσῃ, καὶ φορᾷ πεπηγμένῃ,
καὶ τὰς ἀμόρφους εἰδοποιῶν οὐσίας,
αὐτὸς δὲ τοῦ σύμπαντος ἐξῃρημένος,
ὑπερτελὴς γὰρ εἶ καὶ ἀρχὴν οὐκ ἔχεις.
τέλους ἀπέστης καὶ διέστης τοῦ μέσου,
ἐκτὸς βεβηκὼς τῶν τριῶν καὶ τῶν ὅλων.
ἐντὸς πεφυκὼς τῶν ὅλων ἐκτὸς μένεις,
πρόδηλος ὢν ἄδηλος, οὐκ ἔχων ὅρους.
ἀλλ᾽ ὢν ὁρισμὸς τῶν ὁριζόντων ὅρων,
ἄρχων ἀνάρχως, οὐ μετρούμενος χρόνῳ·
ῥοπῇ δὲ ποιῶν ἀχρόνως τὰ τοῦ χρόνου,
ὡς ἔντεχνος δὲ τῶν φρενῶν ἐπιστάτης,
πᾶσάν τε πρᾶξιν τεχνολογεῖν ἰσχύεις,
καὶ πᾶν ἰδὼν ὄνομα καὶ ῥῆμα ξέων.
καὶ λεπτὸν ἀνθρώπων μετοχὴν κεκρυμμένην,
αἰτιωνυμίαν πᾶσαν ἠκριβωμένος,
πάσῃ προσθεὶς μέτρα δοὺς ἡρμοσμένα,
τὸν πάντα κόσμον εἰς ἐπίρρημα τρέπεις,

εἰ μὴ

εἰ μὴ τὸ σὸν συνεῖδες ἀῤῥήτως κράτος,
συζευκτικὸν σύνδεσμον ἐμβαλεῖν" ὅλως. ἴσ. ὅλοις
ἀεὶ δὲ δεικνὺς τεχνικὰς ἐπεκτάσεις.
ἅπαντα γίγνῃ πρὸς τὸ σοὶ δεδογμένον,
μέλλων, ἐνεστὼς, παρατατικὸς, ἅμα
σὺν τοῖς παρακείμενος ἀόριστός τε.
ὑπερσυντέλικός τε, ἐγκλίσεις νέμων,
ὁριστικὴν, εὐκτικὴν, ἀπαρέμφατον.
ἐνθεὶς δὲ ταύτας ἀῤῥήτῳ τέχνῃ * πλέον,
προστακτικῷ δὲ πάντα μορφώσας λόγῳ.
ὑποτακτικήν σοι δημιουργεῖς τὴν κτίσιν·
πάμμορφος ὢν ἄμορφος οὐκ ἔχων στάσιν,
οὐκ ἴχνος, οὐ κίνησιν, οὐ γνωστὴν βάσιν,
πάντων γὰρ εἶ κίνησις, ἡ πάντων βάσις.
ἁπλοῦς, μεθεκτὸς, πρῶτος, ἔσχατος, μέσος,
ὑψηλὸς, εὐρὺς, ἀπλατὺς, βαθὺς, μέγας.
οὐδὲν δὲ τούτων. ἀλλ' ἐν ἀβάτοις ὅροις
τῆς σῆς ἐπήξω μυστικῆς ἐξουσίας.
ὁ πανταχοῦ μὲν μηδαμοῦ δὲ, καὶ πάλιν
καὶ πάντα καὶ ἕν. ταῦτα γὰρ συναπτέον,
μή πως μερισθὲν τῇ διχῇ διαστάσει,
τὸ μηδαμοῦ μὲν εἰς ἀνούσιον ῥέποι,
τὸ πανταχοῦ δὲ τοῖς μερισμοῖς ἁρμόσοι.
ἀλλ' ἀντιφθόγγοις ὡς ἂν εἴπῃ τις λόγοις
τὸ πάντα καὶ ἓν καὶ τὸ μηδαμοῦ πάλιν
τῇ πανταχοῦ σφίγγοντες ἀντιφθεγγίᾳ

στερ.

στερρὸν τὸ βάθρον πήξομεν τῶν δογμάτων,
μή πως ὑπαχθῇ τοῖς κατ' αἴσθησιν τύποις,
τὸ ἓν μονωθὲν, τῇ δὲ πάντα συνθέσει,
διπλοῦντες αὐτοῦ ἀπερίληπτον φύσιν
αὖθις τὸ ἓν κυροῦμεν ἠκριβωμένως,
μή πως τὰ πάντα σχῇ κακὴν ὑποψίαν.
καὶ δῶμεν ἀρχὴν μὲν τῇ ῥεούσῃ συνθέσει,
τὸ πανταχοῦ δὲ τὸν θεὸν πεφυκέναι,
τῇ μηδαμοῦ πρόσεστιν αἴτιον συνθέσει.
εἰ καὶ βάθος γὰρ ἐκβαθύνῃ σοι λόγου,
πρὸς ὕψος ἀρθεὶς ἐμφανίζειν οὐ θέλεις.
εἰ δὲ πρὸς ἄκρον ὕψος ἀρθῶσι φρένες,
πρὸς ἄκρον αὐτὰς αὖθις ἀποστρέφεις βάθος.
ὡς μήτε μῆκος σῷ παριστάναι βάθει
μήτε πλάτος σὸν ὕψος εἰς πέρας φέρειν,
ἀλλ' εἰς ἄπειρα τὴν ἄπειρον ἡ λύσις
χυθεῖσα τῇ σῇ τέμνεται παρεκτάσει,
ὡς εἰ λέγειν χρὴ καὶ τὰ μή πω πρὸς κτίσιν
ἐλθόντα τῇ σῇ ζωπυροῦσθαι προσθέσει,
ἐφίστασαι γὰρ καὶ παρὼν ἀφίστασαι,
μένων ἐκφεύγεις καὶ σκιᾶς λεπτῆς δίκην,
ἐν τῷ κρατεῖσθαι τὰς λαβὰς ὑπεκφεύγεις;
οὕτω σε καὶ νῦν ἐξ ἀπληστίας πόθου
μαθεῖν θελήσας καὶ τρυγῆσαι τῷ λόγῳ
τὸν ἀμπελῶνα τῶν σοφῶν σου κτισμάτων,
οὐκ οἶδα ποῖον βότρυν ἁρπάσας λάβω.

τῇ ποικίλῃ γὰρ καὶ σοφῇ θεωρίᾳ,
τὸν νοῦν μερίζω, καὶ στενοῦμαι· καὶ θέλων
ἰδεῖν τὰ πρόσω κλέπτομαι τοῖς ἐσχάτοις,
καὶ δυσκαθέκτοις ἐπινήχομαι σάλοις.
ὡς οἱ πλέοντες ἐν βυθῷ θαλαττίῳ,
ὅσον προσκύπτει τῆς ἀβύσσου τὸ πλάτος,
πάσχουσι μᾶλλον συστολὴν ἐν καρδίᾳ.
εἰ καὶ τάχος γὰρ ἀστραπῆς διαδράμω.
καὶ πλέον ὡς ἀρθῶ καὶ περάσω τὰς φύσεις,
καὶ μᾶλλον ἀρθῶ καὶ τὸν αἰθέρα σχίσας
τὰς κλεῖς ἀνοίξω Πέτρος ὢν πεπλασμένος.
καὶ τῇ τοσαύτῃ μὴ στενωθεὶς ἐκτάσει,
ὑπερβεβηκὼς οὐρανοὺς ὕδωρ φθάσω,
ἴσως ἄβυσσον ἐξ ἀβύσσου καὶ πέρας,
ἀρχὴν συμπάντων καὶ πέρας μηδὲν βλέπων,
τό τε προσκύψας εἰς τὸν ἄκρον πυθμένα
καὶ συνθολωθεὶς πρὸς τὸ χάσμα τοῦ βάθους,
ἴλιγγα πάσχω, καὶ κλονοῦμαι, καὶ πάλιν
εἰς γῆν ὁ πηλὸς συστραφεὶς ὑποτρέχω.
οὐδὲν γὰρ εἰμὶ πλὴν γεώδης αἰθάλη,
καὶ πηλὸς ἀργὸς καὶ κατάρροπος κόνις.
πλὴν ποῖ πτεροῦμαι; ποῖον αἰθέρα σχίσω;
καὶ ποῖ πορευθεὶς καὶ τὸν οὐρανὸν τρέχων,
εἰς πέμπτον ἀρθῶ τοῦ Σταγειρίτου πόλον;
ἢ ποῖον αὖθις ἄλλον ἢ ποίαν πύλην,
ἐκεῖνον ἐγκλείοντα; καὶ ποίαν πάλιν

ζητῶν

ζητῶν περικόπτω, ψηλαφῶν ὑποστρέφω,
τὸ τῆς κάτω γῆς εἴπερ ἀθρήσω βάθος,
καὶ μυχίον πλέξοιμι τῷ βάθει βάθος,
καὶ γνῶ τὸ συμπέρασμα τῆς ἀπειρίας,
καὶ τῆς ἐμῆς γῆς, τῆς ἐμῆς μητρὸς μάθω
τὸν μακρὸν αὐτῆς ποῦ συνέστειλεν πόδα·
τότε προσελθὼν ταῖς ὑπερτέραις πύλαις,
καὶ τὴν ἀνοικτόκλειστον ἐγκλείσω θύραν.
ἀνοίγεται γὰρ καὶ πλέον συστέλλεται,
ἁπλουμένη δὲ καὶ στενουμένη πλέον,
χαλᾷ τὰ κλεῖθρα καὶ φοβεῖ τὰς εἰσόδους,
τοῖς εἰσβαλεῖν τολμῶσιν ἀντικειμένη.
Ἀλλ' ὦ τοσούτων ἀρχιτέκτον θαυμάτων,
ὁ τὸν σὸν υἱὸν, τὸν συνάφθαρτον λόγον
ἐκδοὺς δι' ἡμᾶς τοὺς ἀτάκτους οἰκέτας,
εἰς λύτρον ἐχθροῖς, υἱὸν ἠγαπημένον.
ὅπως ἔχοντες ὥσπερ οἱ κεχωσμένοι
σκώληκες εἰς γῆν ἐν τάφῳ τὰς οἰκίας
(ἡ γῆ γὰρ ἡμῖν ὡς ἐκείνοις ἦν ὅλα,
βία, τροφή, δίαιτα, καὶ ζωῆς τάφος.)
μὴ συγκαταπαθῶμεν ἐν ζόφῳ πάλιν.
ἀλλ' εἰς ἀνάστασίν τε καὶ νέαν πλάσιν
ἐλθὼν ἐγείρῃ τὴν πεσοῦσαν εἰκόνα,
καὶ τὰς ἀράχνας τῶν παθῶν ἀποξέσῃ
καὶ πάντα τὸν χοῦν ἐκτινάξῃ λεντίῳ,
σπόγγῳ δὲ τὴν ῥύπωσιν ἐκμάξας ὅλην

βρίθουσαν εἰς γῆν πανδυματάσῃ τὴν κόνιν.
παρ' οὗ τὸ πνεῦμα τῆς ἀληθείας ὅλης
ἐκπεμφθὲν οἶδεν ἡ κτίσις σεβάσμιον,
τὸν ἀρραβῶνα τῆς ἄνω κληρουχίας,
τὸν ἄσχετον ῥοῦν ἀγαθῶν χαρισμάτων,
τὸ ζωοποιὸν τῆς ἁγιστείας κράτος.
υἱοθεσίας τὸ προάρχιον πέρας,
τὸ καὶ μερίζον καὶ διαιροῦν ὡς θέλει
τὰς τῶν ἐνεργῶν δωρεῶν ἐπεκτάσεις·
τὸ πᾶσι τοῖς ἄνω τε καὶ κάτω μύρον
τὸ χρίσμα καὶ χάρισμα τῶν τελουμένων,
τὸ φθαρτικὸν σύσταλμα τῆς ἁμαρτίας,
τὸ ζωτικὸν σύνταγμα τῆς ἀφθαρσίας,
τὸ φλεκτικὸν φῶς, τὴν δροσίζουσαν φλόγα,
τὸ τῆς χαρᾶς ὄχημα τῆς αἰωνίου,
τὸ τῶν προφητῶν ὀπτικώτατον σέλας,
τὸ πυρσόγλωσσον τῶν ἀποστόλων στόμα,
τὸ τῆς πάλης ἄλειμμα τῆς τῶν μαρτύρων
τὸ σύνδρομόν τε καὶ συνέκδρομον σέλας,
τῆς πατροφεγγοῦς τοῦ λόγου θεαρχίας.
τὸ νυμφικὸν σφράγισμα τοῦ ξένου τόκου,
ἡ μυστικὴ κλεὶς τῆς θεοδόχου πύλης,
δι' ἧς ἄσαρκος εἰσεληλυθὼς λόγος,
ἐξῆλθεν ὢν ἔνσαρκος, ἐσφραγισμένην
ἀφεὶς ἐκείνην (ὥσπερ εὗρε) τὴν θύραν.
δι' οὗ φάλαγξ μὲν δαιμόνων ἀφανίζεται,

πεζά ε-

πεζεύεται δὲ τῆς θαλάσσης ἡ χύσις·
ἀνειμένη δὲ τῆς ῥοῆς ἡ χαυνότης
ἐκ τοῦ γνάφεως οὐ βαρεῖται φορτίου·
ἄρτοι δὲ πηγάζουσι μυελοτρόφοι
ἐκ πενταρίθμων ἐκρυέντες κλασμάτων
ὕδωρ δὲ νέκταρ θαυματουργεῖται γάμῳ
ἕτοιμος οἶνος ἐξ ἀδήλων βοτρύων.
καινίζεται δὲ γεῦσιν, ὄσφρησιν, φύσιν.
καὶ τρεῖς ὀρέξεις ἤμειψεν ἐξ ἑνὸς λόγου.
παρ' ᾧ τελεσθεὶς καὶ τελώνης, εἰ θέλει,
εὐαγγελιστὴς γίνεται θεογράφος·
πόρνη δὲ ῥείθροις δακρύων βαπτίζεται,
δεικνῦσα πῶς ἔνεστι κινδύνου δίχα,
λουτροῦ μετασχεῖν εἰς ἀνάγκην δευτέρου.
δι' οὗ τὰ δεινὰ δουλαγωγεῖται πάθη,
λώβης δὲ πικρὸς ἐξορίζεται βρόμος.
σφίγγει δὲ χωλὸς τὰς ἐνάρθρους συνθέσεις,
ἐκτείνεται δὲ συστολὴ παρειμένη.
συστέλλεται δὲ δυσπαθοῦσα μακρότης,
ξηραίνεται δὲ κρουνὸς ἡματωμένος
σφαγεὺς ἀγωγὸς ἐμφραγεὶς τῷ κρασπέδῳ,
κόνις δὲ τυφλῶν ὀμματοῖ θεωρίαν.
τὸ πτύσμα τοῦ πλάσαντος εὐλαβουμένη,
καὶ νεκρὸς ᾅδης γίνεται παρ' ἐλπίδας
Πλούτων πενιχρὸς καὶ σφαγεὺς ἐσφαγμένος,
μαραίνεται γὰρ τοὺς νεκροὺς ἀναπτύων,

οὐ

οὐδ᾽ εἶχεν οὐδ᾽ ἔσφιγγε κολπώσας κάτω,
ἐν ταῖς ἑαυτοῦ ψυχολέθροις ἀγκάλαις.
ἕως τὸ σὸν γέννημα τὸ ζωηφόρον,
τὸ πατρικὸν φῶς τὸ περὶ ἡλίου σέλας,
τὸ τῶν παλαιῶν ἡμερῶν νέον βρέφος,
ἀνεῖλεν αὐτὸν ἀντὶ λόγχης τῷ ξύλῳ.
Ἀλλ᾽ ὦ τοσούτων ἀρχιτέκτων θαυμάτων,
ὁ πρὸς τὸ σὸν βούλημα τὰς ἄνω πύλας
σφίγγων, ὅτε χρή, καὶ διευρύνων πάλιν,
ὅταν παρᾷς ᾗ καὶ δοκῇ σοι συμφέρειν.
καὶ νῦν παρὼν ἄνοιγε τὰς κάτω πύλας,
(πύλας γὰρ ἡμεῖς κοσμικῶν οἰκητόρων.
ταύτην καλοῦμεν τὴν ἐπύργωσας πόλιν)
καὶ δὸς τὸν ἐκ σοῦ περιλαβόντα τὸ κράτος,
τὸν κοσμορύστην, τὸν διώκτην περσίδος,
μᾶλλον δὲ τὸν σώσαντα καὶ τὴν περσίδα.
ὅλων κρατῆσαι τῶν ἐφ᾽ ἥλιον τόπων,
δεῖξον δὲ τὴν γῆν οὐρανὸν μιμουμένην,
ἑνὸς κρατοῦντος ἡλίου καὶ τῶν κάτω.
τὸν γὰρ φανέντα περσικὸν κοσμοκτόνον
πρέπει γενέσθαι κοσμικὸν καὶ δεσπότην.
πίησον αὐτῷ τοὺς ἱδρῶτας τῶν πόνων
λουτρὸν καθαρὸν καὶ στολὴν ἀφθαρσίας.
αὔξησον αὐτῷ τοῦ φόβου σου τὸ κράτος.
οὕτω γὰρ ἕξει πιστὰ νικητήρια,

νίκης κατ' ἐχθρῶν ἀξιωθεὶς δευτέρας.
ὡς τοὺς ἀδήλους πυρπολήτας βαρβάρους,
ῥίζωσον αὐτοὺς τοὺς ἐπανθοῦντας κλάδους.
εἰς ζῶντα καρπὸν κοσμικῆς εὐκαρπίας,
ποίησον αὐτοὺς πατρὸς εἰκονίσματα.
οὕτω γὰρ αὐτοῖς διπλὸν ἔσται τὸ κράτος,
ὄξυνον αὐτοῖς τὰ ξίφη τῶν βαρβάρων,
ὅτι πρὸς ἡμᾶς βαρβαροῦται τὰ ξίφη,
ἔκτεινον αὐτοῖς εἰς τὸ σώζειν τὰς φρένας.
σύστελλον αὐτοῖς πᾶν ἐναντίον θράσος,
πλάτυνον αὐτοῖς τὰς πρὸς εἰρήνην πύλας.
στένωσον αὐτοῖς τὰς ἐπαχθεῖς φροντίδας.
ὁ πατριάρχης ταῦτα κράζει συντόνως,
κἂν ἔστιν ἰσχνόφωνος ἐξ ἀσιτίας,
καὶ μὴ λαλῶν ἔσωθεν ἤχησε μέγα,
τὴν γλῶτταν ἐνθεὶς εἰς τὸ πῦρ τῆς καρδίας,
ἔκρυψεν αὐτὴν καὶ στομοῦται μειζόνως.
βοᾷ δὲ σιγῶν ὡς ὁ Μωσέως φάρυγξ,
ἀκούεται δὲ μὴ σαλεύων τὸ στόμα.
τέγγει δὲ τὴν γῆν καὶ δι' ὀμμάτων βρέχει,
καὶ πυκνὰ νείφει τῇ φορᾷ τῶν δακρύων.
ἔγνωμεν αὐτὸν κἂν δοκεῖ λεληθέναι,
δῆλος γὰρ ἦν τὸ βλέμμα χαυνώσας κάτω
καὶ τοὺς λογισμοὺς πάντας ἐκτείνας ἄνω,
ἀλλ' ὢ φονευτὰ τῶν παθῶν τῶν βαρβάρων,

(σφατ-

(σφάττεις γὰρ αὐτὰ τῇ μαχαίρᾳ τοῦ λόγου)
τὸ τεῖχος ἡμῶν δεῖξον ὠχυρωμένον.
τὰ γὰρ σὰ τέκνα τεῖχος εὗρον αἱ πόλεις,
πύργωσον αὐτοῖς τὰς ἐπάλξεις ἐκ λίθων.
τὸν Χριστὸν ἀκρόγωνον ἐμβαλὼν λίθον,
σύμπλεξον αὐτοῖς μαργαρίτας ἀφθόρους
ἐκ δακρύων παγέντας οὐκ ἐξ ὀστράκων,
λάλει δ᾽ αὐτοῖς τῷ θεῷ καθ᾽ ἡμέραν.
νυκτὸς γὰρ ἡμῖν οὐκ ἐγείρεται ζόφος.
στόμωσον αὐτοῖς μυστικοῖς ἀκοντίοις.
σύμπηξον αὐτοῖς σταυρομόρφους εἰκόνας,
τείνοντα τόξα τῇ τάσει τῶν δακτύλων.
πτέρωσον αὐτοῖς ψαλμοκίνητον βέλος,
ποίησον αὐτοῖς ἐκ στεναγμοῦ σφενδόνην.
χάλκευσον αὐτοῖς ἠκονημένα ξίφη,
τὸ πῦρ νοητῆς ἐκ πυράγρας ἁρπάσας.
τὸ τοῦ θεοῦ δὲ πνεῦμα ἐκφυσῶν ἔχων,
κάμψον δ᾽ αὐτοῖς τῷ θεῷ τὸν αὐχένα.
καὶ πᾶσα Περσὶς ἀντικάμπτῃ τοὺς πόδας,
κλῖνον δ᾽ αὐτοῖς εἰς τὸ βῆμα τὰ σκέλη,
καὶ πάντας ἄρδην συμπατοῦσι βαρβάρους,
τὰ νῶτά σου σκύνευσον εἰς τὴν γῆν κάτω,
καὶ πᾶς ὁ κόσμος ἀδεῶς ἐγείρεται,
οὕτω γὰρ οἱ νυχθέντες ἐξ ἁμαρτίας
ὁλκοὶ φραγῶσι, καὶ μετ᾽ εἰρήνης ὅλοι ἴσ. ὅλης

τὰ στυγνὰ τῆς γῆς ἐκπεράσωμεν νέφη.
μιᾷ δὲ φωνῇ πᾶν κεκράξεται στόμα,
ὡς ἐμεγαλύνθη τοῦ Θεοῦ τῶν κτισμάτων
ἡ δημιουργὸς, καὶ σοφὴ παντουργία.

Τ Ε Λ Ο Σ.

ΕΙΣ ΤΟΝ ΣΥΝΕΣΙΟΝ
Ἰωάννης Λεοντόνυχος.

Πινδαρικὴν φόρμιγγα λαβὼν συνετώτατος ἀνδρῶν
  Συνέσιος, μεγάλῳ λῖνον ἄεισε θεῷ.
Πλὴν ἀλλ' αὐτὸς ἐπεὶ λίπεν αὐγὰς ἠελίοιο,
  Πᾶσα μελῶν ἐρατῶν εὐθὺς ὄλωλε χάρις.
Νῦν δ' ἄρα Συνέσιόν θ' ἅμα καὶ μελιηδέας ὕμνους
  Καντῆρος ζωῆς εἰς φάος αὖθις ἄγει.
Ἴσ' οὖν ἀνδρὶ σοφῷ χάριν, ὦ μουσῶν θεράποντες,
  Ὕμνοι τ' εὐαγέες, καὶ σύ γε Συνέσιε.

ΣΥΝΕΣΙΟΥ

ΥΜΝΟΣ ΠΡΩΤΟΣ.

Ἄγε μοι ψυχὰ,
ἱεροῖς ὕμνοις
ἐπιβαλλομένα,
ὑληγηθέας
κοίμασον οἴστρους
θώρησσε δὲ νόου
ζαμενεῖς ὁρμάς.
βασιλῆϊ θεῶν
πλέκομεν στέφανον,
θῦμ' ἀναίμακτον,
ἐπέων λοιβάς.
σὲ μὲν ἐν πελάγει,
σὲ δ' ὑπὲρ νάσων,
σὲ δ' ἐν ἀπείροις,
ἐπί τε πολίων,
κραναῶν τ' ὀρέων,
καὶ κατὰ κλεινῶν
ὁπόταν πεδίων

στάσω

στάσω διδύμοις
γόνων ταρσοῖς,
σὲ μάκαρ μέλπω
γενέτα κόσμου.
σοὶ νύξ με φέρει
τὸν ἀοιδὸν ἄναξ·
σοὶ δ' ἀμερίοις,
σοὶ δ' ἀώοις,
σοὶ δ' ἑσπερίοις
ὕμνοις αἰάζω.
ἴστορες αὐγαὶ
πολιῶν ἄστρων,
μήνας τε δρόμοι,
καὶ μέγας ἴστωρ
ἅλιος, ἁγνῶν
ἄστρων πρύτανις.
ὁσίων ψυχᾶν
ἅγιος ταμίας,
ἐπὶ σὰς αὐλάς,
ἐπὶ σοὺς κόλπους,
τὸν ἀπόστροφον
ταναᾶς ὕλας
ἐλα- ταρσὸν ἀναφειζόντων,
φρίζον χαίρων ἵνα σοῦ
προμολὰν ἱκόμαν.
νῦν ἐπὶ σεμνᾶς

πλετηφορίας
σηκοῖς ἁγίοις
ἱκέτας ἔμολον.
νῦν ἐπὶ κλεινῶν
κορυφαῖς ὀρέων
ἱκέτας ἔμολον.
νῦν ἐς ἐρήμας
αὐλῶνα μέγαν
λιβύας ἔμολον,
πέζαν νοτίαν,
τὰν οὔτ᾽ ἄθεον
πνεῦμα μολύνει,
οὔτε χαράσσει
ἴχνος αἰθερόπων
ἀστυμερίμνων.
ἵνα σοι ψυχὰ
καθαρὰ παθέων,
λύσασα πόθους,
λήξασα πόνων,
λήξασα γόων,
θυμῶν, ἐρίδων,
ὅσα κηρεσσιφῆ
ἀποσεισαμένα,
καθαρᾷ γλώσσᾳ
γνώμῃ θ᾽ ὁσίᾳ
τὸν ὀφειλόμενον

ὕμνον ἀποίσῃ.
εὐφαμείτω
αἰθὴρ καὶ γᾶ.
στάτω πόντος,
στάτω δ' ἀήρ.
λήγετε πνοιαὶ
βαλίων ἀνέμων.
λήγετε ῥιπαὶ
γυρῶν ῥοθίων,
ποταμῶν προχοαὶ,
κρανααὶ λιβάδες.
ἐχέτω σιγὰ
κόσμου λαγόνας,
ἱερευομένων
ἁγίων ὕμνων.
δύτω κατὰ γᾶς
ὀφίων συρμός.
δύτω κατὰ γᾶς
καὶ πτανὸς ὄφις,
δαίμων ὕλας,
νεφέλα ψυχᾶς,
εἰδωλοχαρὴς,
εὐχαῖς σκύλακας
ἐπιθωΰσσων.
σὺ πάτερ, σὺ μάκαρ,
σὺ ψυχοβόρους·

ἀπέρυκε κῆρας
ψυχᾶς ἀπ᾽ ἐμᾶς,
δίχας ἀπ᾽ ἐμοῖς,
ζωᾶς ἀπ᾽ ἐμᾶς,
ἔργων ἀπ᾽ ἐμῶν.
ἀλλ᾽ ἁ μετέρα
πραπίδων λοιβὰ
σοῖς ἐριτίμοις
μελέτω προπόλοις,
πορθμεῦσι σοφοῖς
ἁγίων ὕμνων.
ἤδη φέρομαι
ἐπὶ βαλβίδας
ἱερῶν ἐπέων.
ἤδη καναχεῖ
ὄμφα περὶ νοῦν.
μάκαρ ἵλαθί μοι,
πάτερ ἵλαθί μοι,
εἰ παρὰ κόσμον,
εἰ παρὰ μοῖραν
τῶν σῶν ἔθιγον.
τίνος ὄμμα σοφὸν,
τίνος ὄμμα πολὺ
ταῖς σαῖς στεροπαῖς
ἀνακοπτόμενον,
οὐ καταμύσει;

ἀπ-

ἀπενὲς δὲ δρακεῖν
ἐπὶ σοῖς πυρσοῖς
θέμις οὐδὲ θεοῖς.
πίπτων δὲ νόος
ἀπὸ σᾶς σκοπιᾶς,
τὰ πέλας σαίνει,
ἀκίχητα κιχεῖν
ἐπιβαλλόμενος,
προσιδεῖν αἴγλαν
ἀκάμαντι βυθῷ
ἀθρυασομέναν.
ἀβάτων δ' ἀποβὰς
ἐπὶ πρωτοφανὲς
εἶδος ἐρείδει
ὄμματος ἀλκάν.
ὅθεν αἰνύμενος
ἐπὶ σοῖς ὕμνοις
αἴθεα φωτὸς
ἀόρισ' „ ἀορίστοις αἰέμοις
ἀνά-παυσε „ αἰαπαῦσαι βολὰν,
τὰ σὰ σοὶ πάλιν δούς.
τί γὰρ οὐ σὺ ἄναξ,
πατέρων πάντων
πάτερ αὐτοπάτωρ,
προπάτωρ ἀπάτωρ,
υἱὲ σεαυτοῦ,

ἓν ἑνὸς πρότερον,
ὄντων σπέρμα,
πάντων κέντρον,
προανούσιε νοῦ,
κόσμων ῥίζα
τῶν ἀρχεγόνων,
ἀμφιφαὲς φῶς,
ἀῤῥέκτα σοφὰ,
παγὰ σοφίας,
κεκαλυμμένε νοῦ
ἰδίαις αὐγαῖς,
ὄμμα σεαυτοῦ,
σκηπτροκράτορ,
αἰωνοτόκε,
αἰωνόβιε
ἐπέκεινα θεῶν,
ἐπέκεινα νόων,
ἐπὶ θάτερα νωμῶν
νοερητόκε νοῦ,
ὀχετηγὲ θεῶν,
πνευματοεργὲ,
καὶ ψυχοτρόφε,
παγὰ παγῶν,
ἀρχῶν ἀρχὰ,
ῥιζῶν ῥίζα.
μονὰς εἶ μονάδων,

ἀριθ-

ἀριθμῶν ἀριθμός,
μονὰς ἠδ' ἀριθμός,
νοῦς καὶ νοερὸς,
καὶ τὸ νοητὸν,
καὶ πρὸ νοητοῦ.
ἓν καὶ πάντα,
διὰ ἓν" δ' ἁπάντων,
πάντων ἕν τε πρὸ πάντων,
σπέρμα τὸ πάντων,
ῥίζα καὶ ὄρπαξ,
φύσις ἐν νοεροῖς,
θῆλυ καὶ ἄρρεν.
μύστας δὲ νόος
τάτε καὶ τὰ λέγει,
βυθὸν ἄρρητον
ἀμφιχορεύων.
σὺ τὸ τίκτον ἔφυς,
σὺ τὸ τικτόμενον·
σὺ τὸ φωτίζον,
σὺ τὸ λαμπόμενον.
σὺ τὸ φαινόμενον,
σὺ τὸ κρυπτόμενον,
φῶς κρυπτόμενον
ἰδίαις αὐγαῖς.
ἓν καὶ πάντα,
ἓν καθ' ἑαυτὸ,

καὶ διὰ πάντων.
σὺ γὰρ ἐξεχύθης
ἀρρητοτόκε,
ἵνα παῖδα τέκῃς
κλεινὰν σοφίαν
δημιοεργόν.
προχυθεὶς δὲ μένεις,
ἀτόμοισι τομαῖς
μαιευόμενος.
ὑμνῶ σε μονάς·
ὑμνῶ σε τριάς.
μονὰς εἶ, τριὰς ὤν·
τριὰς εἶ, μονὰς ὤν.
νοερὰ δὲ τομὰ
ἄσχιστον ἔτι
τὸ μερισθὲν ἔχει.
ἐπὶ παιδὶ χυθεὶς,
ἰόταπι σοφᾶ.
αὐτὰ δ᾽ ἰότας
βλάστησε μέσα
φύσις ἄφθεγκτος.
τὸ προούσιον ὂν
οὐ θέμις εἰπεῖν.
ἀλλ᾽ ἕτερον ἐκ σοῦ
οὐ θέμις εἰπεῖν,
τρίτον ἐκ πρώτου.

ὠδὶς ἱερά,
ἄῤῥητε γονά,
ὅρος εἶ φυσίων,
τᾶς τικτοίσας
καὶ τικτομένας.
σέβομαι νοερὰν
κρυφίαν τάξιν.
χωρεῖ τι μέσον
καταχυθὲν οὐ "καταχθέν.
ἄφθεγκτε γόνε
πατρὸς ἀφθέγκτου,
ὠδὶς διὰ σέ·
διὰ δ' ὠδῖνος
αὐτὸς ἐφάνθης,
ἅμα πατρὶ φανεὶς
ἰσότατι πατρός.
ἴσατας σὺ δ' ἀεὶ
παρὰ σεῖο πατρί.
οὐδ' ὁ βαθύῤῥους
χρόνος εἶδε γονὰς
τὰς ἀῤῥήτους.
αἰὼν δὲ γέρων
τὸν ἀμήρυτον
τόκον οὐκ ἐδάη.
ἅμα πατρὶ φάνη
αἰὼν γλυόμενος,

ὁ γλυκ-

ὁ γεννησόμενος.
τίς ἐπ' ἀφθέγκτοις
ἐβράβευσε τόλμαν
ἀλαῶν μερόπων
δαιδαλογλώσσων;
ἄθεοι τόλμαι.
σὺ δὲ φωτοδότας
φωτὸς νοεροῦ.
σκολιᾶς δ' ἀπάτας
αἰέχεις ὁσίων
πραπίδας μερόπων,
ἐς ζόφων ὕλας
μὴ καταδῦναι.
σὲ πάτερ κόσμων,
πάτερ αἰώνων,
αὐτουργὲ θεῶν,
θαγὲς αἰνεῖν.
σὲ μὲν οἱ νοεροὶ
μέλπουσιν ἄναξ·
σὲ δὲ κοσμαγοὶ
ὀμματολαμπεῖς
νόες ἀστέριοι
ὑμνοῦσι μάκαρ,
οὓς πέρι κλεινὸν
σῶμα χορεύει.
πᾶσά σε μέλπει

γενεὰ

γενεὰ μακάρων·
οἱ περὶ κόσμον,
οἱ κατὰ κόσμον,
οἱ ζωναῖοι,
οἵ τ' ἄζωνοι
κόσμου μοίρας
ἐφέπουσι σοφοὶ
ἀμφιβατῆρες,
οἱ παρὰ κλεινοῖς
οἰηκοφόροις,
οὓς ἀγγελικὰ
προχέει στρατιά,
τότε κυδήεν
γένος ἡρώων,
ἔργα τὰ θνητῶν·
κρυφίαισιν ὁδοῖς
διανισόμενον,
ἔργα βρότεια·
ψυχά τ' ἀκλινὴς
καὶ κλινομένα
ἐς μελαναυγεῖς
χθονίους ὄγκους.
σὲ μάκαιρα φύσις,
φύσεώς τε γονὰ
ὑμνεῖ μάκαρ·
τὰς ζῳδώρους

ἐρέπτης ἀνοίαις,
ἀπὸ σῶν ὀχετῶν
κατασυρομένας
περικυλινδομένας.
σὺ γὰρ ἀρχαίτων
ἡγέτα κόσμων,
φύσις εἶ φυσίων.
σὺ φύσιν θάλπεις,
γένεσιν θνατῶν,
τᾶς ἀενάω
ἰνδαλ-μαμο-νᾶς " ἰνδάλμονα.
ἵνα καὶ πυμάτα
μοίρας ἐν κόσμῳ
λελάχῃ ζωᾶς
ἐπαμειβομένας.
οὐ γὰρ θέμις ἦν
ζύγα τὰν κόσμου
κορυφαῖς ἐρεῖσαι·
τὸ δὲ ταχθὲν ὅλως
ἐς χορὸν ὄντων
οὐκέτ' ὀλεῖται·
ἄλλο δ' ἀπ' ἄλλου.
διὰ δ' ἀλλήλων,
πάντ' ἀπολαύει
ἐξ ὀλλυμένων
κύκλος ἀΐδιος,

ταῖς σαῖς πνοιαῖς
ἀναθαλπόμενος.
σοὶ διὰ πάντων
ἵστησι χορεὺς
μάτηρ φύσις,
ἰδίαις χρόαις,
ἰδίοις ἔργοις
δαιδαλλομένων.
ἐκ δὲ ζώων
ἑτεροφθόγγων
μίαν ἁρμονίαν
ὁμόφωνον ἄγει.
σοὶ πάντα φέρει
αἶνον ἀγήρων·
ἀὼς καὶ νὺξ,
στεροπαὶ, νιφάδες·
οὐρανὸς αἴθων,
καὶ γᾶς ῥίζαι,
αἰθὴρ ὕδωρ, ἀὴρ,
σώματα πάντα,
πνεύματα πάντα,
σπέρματα, καρποὶ,
φυτὰ καὶ πόαι,
ῥίζαι, βοτάναι,
βοτὰ καὶ πτηνὰ,
καὶ νηχομένων

νεπόδων ἀγέλαι.
ἴδε καὶ ψυχὰν
ὀλιγοδρανέα
ὀλιγηπελέα,
ἐπὶ τᾶς λιβύας,
ἐπὶ σᾶς σπονδᾶς
ἱερηπολίας
ὁσίαις εὐχαῖς
ἐπιμελπομέναν·
τὰν ἀμφιπολεῖ
νέφος ὑλαῖον.
σὺ δ' ὄμμα πάτερ
κοπτικὸν ὕλας.
νῦν μοι κραδία
τεοῖς σοῖς ὕμνοις
παινομένα,
ἐθόωσεν νόον
πυρίαις ὁρμαῖς.
σὺ δὲ λάμψον ἄναξ
ἀνάγωγα φάη.
νεῦσον δὲ πάτερ
σῶμα φυγοῖσαν
μηκέτι δῦναι
ἐς χθονὸς ἄταν.
ὄφρα δὲ ζωᾶς
ὑλοδιαίτου

δεσμοῖσι μένω,
πραεῖα μάκαρ
βόσκοι με τύχα.
μηδ' ἐμπόδιον
πενίᾳ σθένε νόου,
φροντίσι λυγραῖς
δάπτοισα βίον,
ἵνα μὴ τὰ θεοῦ
ἄχολος εἴλω·
μηδ'- ἔτι " μηδέ τι τοίοις
ἐναλινδοίμαν,
ὅθεν ἐκπροφυγὼν
δώροισι τεοῖς,
στέφος δ' ἀγέων
ἀπὸ λειμώνων
σοὶ τοῦτο πλέκων,
σοὶ τόνδε φέρω
αἶνον, ἀχράντων
ἡγέτα κόσμων,
καὶ παιδὶ σοφῷ,
σοῦ τῷ σῷ" αὐτᾷ σοφίᾳ,
τὸν ἀπ' ἀῤῥήτων
ἔχεας κόλπων.
ἐν σοὶ δὲ μένει
σέθεν ἐκπροθορὼν,
ἵνα πάντα σοφαῖς

ἐφέπῃ πνοιαῖς,
δ᾽ ἐπῃ πολιῶν
βάθος αἰώνων,
δ᾽ ἐπῃ ταρσοῖς
κραναοῦ κόσμου
μέχρι καὶ νεάτου
πυθμένος ὄντων.
χθονίας μοίρας,
ὁσίαις περαπίσιν
ἐλλαμπόμενος·
λύῃ δὲ πόνους
καὶ μερίμνας
διερῶν μερόπων,
ἀγαθῶν κράντωρ,
ἐλατὴρ ἀχέων.
τί δὲ θαῦμα, θεὸν
τὸν κοσμοτέχναν
ἰδίων ἔργων
κῆρας ἐρύκειν;
τόδε σοί, μεγάλου
κοίρανε κόσμου,
τίσων ἔμολον
χρέος ἐκ Θρῄκης,
ἵνα τὰν τριέτην
ὤκησ᾽ ἀγυιὰν
παρ᾽ ἀνακτόρεον,

γαίας

γαίας μέλαθρον.
ἔτλαν δὲ πόνους,
ἔτλαν δ' ὀδύνας
πολυδακρύτους,
ὤμοισι φέρων
ματέρα πάτραν.
ῥαίνετο μὲν γᾶ
ἱδρῶτι μελῶν,
ἀεθλευόντων
ἆμαρ ἐπ' ἆμαρ·
ῥαίνετο δ' εὐνὰ
κανθῶν λιβάσιν,
ὀλοφυρομένων
νύκτ' ἐπὶ νύκτα.
νηοὶ δ' ὁπόσοι
δόμηθεν ἄναξ
ἐπὶ σαῖς ἁγίαις
τελετηφορίαις,
ἐπὶ πάντας ἔβαν
πρηνὴς ἱκέτας,
δάπεδον βλεφάρων
δεύων νοτίσι.
μή μοι κενεὰν
ὁδὸν αἰτάσαι,
ἱκέτευσα θεοῦ
δρηστῆρας, ὅσοι

γόνιμον Θρήκης
κατέχουσι πέδον,
οἵ τ' ἀντιπέραν
καλχηδονίας
ἐφέπουσι γύας.
οὓς ἀγγελικαῖς
ἔστεψας ἄναξ
αὐγαῖσι, τεοὺς
ἱεροὺς προπόλους.
σύ μοι μάκαρες
ἠγάβοντο λιτᾶν·
σύ μοι πολέων
ἐλάβοντο πόνων.
οὔ μοι ζωὰ
τᾶμος δὲ φίλα,
διὰ γᾶν πατρίαν
συνεριζομέναν.
τὰν δ' ἐξ ἀχέων
ἔστασας ἄναξ
αὐτὸς ἀγήρως,
κοίρανε κόσμου.
ἤδη ψυχᾶς
ἀποτρυομένας,
ἤδη μελέων
κατερειπομένων,
ὑπέρεισας ἐμὰν

ἄφθεγκτον δύναμιν,
τλάμονι ψυχᾷ
μῦθος ἐμπνεύσας.
καμάτων δὲ γλυκὺ
εὕρετο τέκμαρ
κατὰ θυμὸν ἐμὸν,
ἔργοισιν ἄναξ
ὁπόσας δολιχῶν
ἄμπαυμα πόνων.
τὰ σὺ πάντα μάκαρ
λιβύεσσι σάου
ἐς μηκεδανὸν
μήρυμα χρόνου,
διὰ σᾶς μνάμαν
εὐεργεσίας,
διά τε ψυχὰν
αἰνὰ παθοῦσαν.
ἱκέτᾳ δὲ δίδου
βιοτὰν ἀσινῆ.
λύε με μόχθων,
λύε με νούσων,
λύε μεριμνᾶν
κηριτρεφέων.
νεῦσον νοερὰν
προπόλῳ ζωάν.
μή μοι χθονίους

ὄμ-

ὄμβρους ἀφέντα
γρ. κρί- "κρήνδας ἀΐαξ,
ἵνα μὴ τὰ θεοῦ
ἄχολος εἴλω.
μηδὲ κατηφὴς
πενία με λάθροις
ἐγχριμπτομένα
περὶ γᾶν ἕλκοι
φροντίδα θυμοῦ.
ἄμφω ψυχὰν
βρίθει περὶ γᾶν.
ἄμφω δὲ νόου
ἐπίληθα πέλει,
ὅτε μὴ σὺ μάκαρ
ὀρέγοις ἀλκάν.
ναὶ πάτερ, ἀγνᾶς
παγὰ σοφίας,
λάμψον πραπίσιν
ἀπὸ σῶν κόλπων
νοερὸν φέγγος.
καρδίᾳ στράψον" καρδίαν
ἀπὸ σᾶς ἀλκᾶς
σοφίας αὐγὰν,
καὶ τὰν ἐπὶ σοὶ
ἱερὰν ἀτραπὸν·
σύνθημα δίδου

σφρα-

σφραγίδα πατρὸς,
κηρεσσιφόρας
δαίμονας ὕλας
στείχων ζωᾶς
ψυχᾶς τ' ἀπ' ἐμᾶς.
καὶ σῶμα σάου
ἀρτεμὲς, ἐχθραῖς
ἄβατον λώβαις·
καὶ πνεῦμα σάου
ἀμόλυντον ἄναξ.
ἦ μὰν ἤδη
δνοφερὰν ὕλας
κηλῖδα φέρω.
ἔχομαι δὲ πόθοις,
χθονίοις δεσμοῖς·
σὺ δὲ ῥύσιος εἶ,
σὺ καθάρσιος εἶ.
ἀπόλυε κακῶν,
ἀπόλυε νόσων,
ἀπόλυε πέδας.
σὸν σπέρμα φέρω,
εὐηγενέος
σπινθῆρα νόου,
ἐς βάθος ὕλας
καταικεκλιμένον.
σὺ γὰρ ἐν κόσμῳ

κατέ-

κατέθου ψυχάν·
διὰ δὲ ψυχᾶς
ἐν σώματι νοῦν
ἔσπειρας ἄναξ,
τὰν σὰν κούραν.
χαῖρε μάκαρ·
κατέβαν ἀπὸ σοῦ
χθονὶ θητεῦσαι.
ἀντὶ δὲ θῆσας
γενόμαν δούλα.
ὕλα με μάγοις
ἐπέδησε τέχναις·
ἔτι μὰν ἔνι μοὶ
βαιόν τι μένος
γλώσσας κρυφίας " γαλώσσας.
οὔπω πᾶσαν
ἔσβεσεν ἀλκάν.
κέχυται δὲ πολὺς
ἐφύπερθε κλύδων,
ἀλαοῦ- " ἀλαμπά τι θεὶς
πα τὰν θεοδερκῆ.
ἐλέαιρε πάτερ
κούραν ἱκέτιν,
τὰν πολλάκι δὴ
νοεραῖς ἀνόδοις
ἐπιβαλλομέναν.

λαμυ-

λαμυρᾶς ὕλας
ἵμερος ἄγχι.
σὺ δὲ λάμψον ἄναξ
ἀνάγωγα φάη.
ἄψον δὲ σέλας,
καὶ πυρκαϊὰν,
ἀπ' ἔρμα τὸ βαιὸν
αὔξων ἐν ἐμαῖ
κραδὸς ἀώτῳ.
θρένισόν με πάτερ
φωτὸς ἐν ἀλκᾷ
ζωηφορίᾳ,
ἵνα χεῖρα φύσις
οὐκ ἐπιβάλλει·
ὅθεν οὐκέτι γᾶ,
οὐ μοιραία
κλῶσις ἀνάγκας
παλίνορσον ἄγει.
λιπέτω, φυγέτω
δολερὰ γένεσις
θεράποντα τεόν.
ἐμέθεν δὲ πάτερ
χθονίου τε κλόνου
πῦρ μέσον εἴη.
νεῦσον γενέτα,
νεῦσον πρόπολῳ

ἤδη νοεροὺς
πετάσαι ταρσούς.
ἤδη " ἢ φερέτω
σφραγῖδα πατρὸς
ἱκέτις ψυχά,
δεῖμα μὲν ἐχθροῖς
δαίμοσιν, οἳ γᾶς
ἀπὸ κευθμώνων
ἀναπαλλόμενοι,
πνέουσι βροτοῖς
ἀθέους ὁρμάς.
σύνθημα δὲ σοῖς
ἁγνοῖς προπόλοις,
οἳ κατὰ κλεινοῦ
βένθεα κόσμου
πυρίων ἀνόδων
κληϊδοφόροι,
ἵνα μοι φάεος
πετάσωσι πύλας.
ἔτι δ' ἀλεμάτας
ἐπὶ γᾶς ἕρπων
μὴ χθονὸς εἴην.
πυρίαν δ' ἔργων
καὶ τῇδε δίδου
μάρτυρα καρπὸν,
ὀμφὰς ἀξεκεῖς,

ὅσα

ὅσα τ' ἐν ψυχαῖς
τὰν ἀμβροσίαν
ἐλπίδα θάλπει.
μετά μοι μέλεται
χθονίας βιοτᾶς.
ἔρρετε λῆμαι
ἀθέων μερόπων,
πολίων τε κράτη.
ἔρρετε πᾶσαι,
ἆται γλυκεραί,
ἀχαρίς τε χάρις.
οἷσιν ψυχὰν
θωπευομέναν
γᾶ λάξιν ἔχει.
ἃ μέγα δειλὰ
ἰδίων τ' ἀγαθῶν
ἔπιεν λάθαν,
μέχρις ἐγκύρσῃ
φθονερᾷ μερίδι.
δοιὰς γὰρ ἔχει
μαστροπὸς ὕλα.
ὃς δὲ τραπέζας
ἐπορεξάμενος
μελιχρῶν ἔθιγεν,
ἦ μέγα κλαύσει,
πικρὰν μερίδα

τὴν αἰτίζων
συνεφελκομένων.
ὅδε γὰρ χθονίας
δεσμὸς ἀνάγκας:
διχόθεν θνατοῖς
βίον οἰνοχοεῖ.
τὸ δ' ἀκηράσιον
ἀμιγές τ' ἀγαθὸν
θεὸς, ἢ τὰ θεοῦ.
μεθύοισα γλυκεῖ
κρητῆρι γύας,
ἔψαυσα κακῶν,
ἐνέκυρσα πάγᾳ,
ἐδάην ἄταν
ἐπιμηθειάδα.
συγέω δὲ νόμοις
ἀλλοπροσάλλοις.
ἐς τὸν ἀκηδῆ
λειμῶνα πατρὸς
ἀοίδων, τανύω
φυγάδας ταρσοὺς,
φυγάδας διδύμων
ὕλας διέχειν.
ἴδε μοι ζωᾶς
νοερᾶς ταμία.
ἴδε τὰν ἱκέτιν

ψυχὰν ἐπὶ γᾶς
νεκρᾶς ἀνόδοις
ἐπιβαλλομέναν·
σὺ δὲ λάμψον ἄναξ
ἀνάγωγα φάη,
πτερὰ κοῦφα διδούς·
ἄμμα δὲ κόψον,
χάλασον πεδόναν
διδύμων παθέων,
οἷσιν ψυχὰς
δολόεσσα φύσις
κάμπτει κατὰ γᾶς.
δός με φυγοῖσαν
σώματος ἄταν,
θοὸν ἅλμα βαλεῖν
ἐπὶ σὰς αὐλάς,
ἐπὶ σοὺς κόλπους·
ὅθεν ἀψυχᾶς
προρέει παγά,
λιβὰς οὐρανία.
κέχυμαι κατὰ γᾶς·
παγᾶ με δίδου,
ὅθεν ἐξεχύθην
φυγὰς ἀλήτης·
νεῦσον προγόνῳ
φωτὶ μιγῆναι.

νεῦσον δ' ὑπὸ σοὶ
ταμιευομέναν,
σὺν ἄνακτι χερὶ
ἀνάγειν ὁσίως
νοεροὺς ὕμνους.
νεῦσον δὲ πάτερ
φωτὶ μιγεῖσαν
μηκέτι δῦναι
ἐς χθονὸς ἄταν.
ὄφρα δὲ ζωᾶς
ὑλοδιαίτου
δεσμοῖσι μένω,
πραεῖα μάκαρ
βόσκοι με τύχα.

ΥΜΝΟΣ Β'.

Σὲ μὲν ἀρχομένας,
σὲ δ' ἀεξομένας,
σὲ δὲ μεσσοίσας,
σὲ δὲ παυομένας
ἀοῦς ἱερᾶς,
ζαθέας νυκτὸς
μέλπω γενέτα,
παίων ψυχῶν,
παίων γυίων,

δῶτορ σοφίας,
ἰατὴρ νούσων,
δῶτορ ψυχαῖς
ἀπόνου βιοτᾶς,
αἳ μὴ στείβει
χθονία φροντίς,
μάτηρ ἀχέων,
μάτηρ παθέων.
ὧν μοι ζωὰ
καθαρὰ μενέτω,
ἵνα τὰν πάντων
κρυφίαν ῥίζαν
ὑμνοῦσα " εὐμνοῦσα λέγω.
μήδ' ἀπαγωγοῖς
ἄτησι θεοῦ
νοσφιζόμαν.
σὲ μάκαρ μέλπω
κοίρανε κόσμου.
γᾶ δὲ σιγάτω
ἐπὶ σοῖς ὕμνοις.
ἐπὶ σαῖς εὐχαῖς
εὐφαμείτω
ὅσα κόσμος ἔχει.
σὰ γὰρ ἔργ' ὦ πάτερ.
καταπαυέσθω
ἀνέμων ῥοῖζος,

ἦχος δένδρων,
θρόος ὀρνίθων.
ἥσυχος αἰθὴρ,
ἥσυχος ἀὴρ
κλυέτω μολπᾶς.
ὑδάτων δὲ χύσις
ἄψοφος ἤδη
στήτω κατὰ γᾶς.
οἱ δ' ἐμπόδιοι
ἁγίων ὕμνων,
κευθμωνοχαρεῖς
καὶ τυμβονόμοι
δαίμονες ἤδη
φυγέτωσαν ἐμὰν
ὁσίαν εὐχάν.
ἀγαθοὶ δ' ὁπόσοι
μάκαρες νοεροῦ
περίπολοι κύτευς,
κατέχουσι βάθη
ἄκρα τε κόσμου,
ὕμνων ἵλεω
πεύθειν τὸ πατρὸς·
ἵλεω δὲ λιτὰς
ἀνάγοιεν ἐμάς.
μονὰς ὦ μονάδων,
πάτερ ὦ πατέρων,

ἀρχῶν ἀρχά,
παγᾶν παγά,
ῥιζῶν ῥίζα,
ἀγαθῶν ἀγαθόν,
ἄστρων ἄστρον,
κόσμων κόσμε,
ἰδεῶν ἰδέα,
βύθιον κάλλος,
κρύφιον σπέρμα,
πάτερ αἰώνων,
πάτερ ἀφθέγκτων
νοερῶν κόσμων,
ὅθεν ἀμβροσία
σταλάοισα πνοά,
στόματος ὄγκοις
ἐπινηξαμένα,
διέπτερον ἤδη
κόσμον ἀνάπτει.
ὑμνῶ σε μάκαρ
καὶ διὰ φωνᾶς.
ὑμνῶ σε μάκαρ
καὶ διὰ σιγᾶς.
ὅσα γὰρ φωνᾶς,
τόσα καὶ σιγᾶς
ἀΐεις νοερᾶς.
ὑμνῶ δὲ γόνον

τὶν προπότοκον
καὶ προπιφαῆ.
γόνα κύδιστε
παῖδος ἀφθέγκτου,
σὲ μάκαρ μεγάλῳ
παῖδι συνυμνῶ,
καὶ τὰν ἐπὶ σοὶ
ὠδῖνα παῖδος,
γόνιμον βουλὰν,
μεσάταν ἀρχὰν·
ἁγίαν πνοιὰν,
κέντρον γονέτου,
κέντρον δὲ κόρου.
αὐταμάτηρ,
αὐταγνωτὰ,
αὐταθυγάτηρ,
μαιωσαμένα
κρυφίαν ῥίζαν.
ἵνα γὰρ προχυθῇ
ἐπὶ παιδὶ πατὴρ,
αὐτὰ πρόχυσις
εὗρετο βλάσταν.
ἔστη δὲ μέσα
θεὸς ἔκτε θεοῦ.
διὰ παῖδά τε
καὶ διὰ κλεινὰν

πατρὸς" πνεύματος ἀθανάτου
πρόχυσιν υἱὸς
εὕρετο βλάσταν.
μονὰς εἶ τριὰς ὤν,
μονὰς ἃ δὴ μένει.
καὶ τριὰς εἶ δή.
νοερὰ δὲ τομὰ
ἄσχιστον ἔτι
τὸ μερισθὲν ἔχει.
προθορὼν δὲ μένει
γόνος ἐς γενέταν·
καὶ πάλιν ἔξω
τὰ πατρὸς διέπει,
κόσμοις κατάγων
ὄλβον ζωᾶς,
ὅθεν αὐτὸς ἔχει
λόγος, ὃν μεγάλῳ
πατρὶ συνυμνῶ.
νόος ἀρρήτου
τίκτει σε πατρός.
καὶ σὺ κυηθεὶς
λόγος εἶ γενέτου,
πρῶτος πρώτας
προθορὼν ῥίζας·
ῥίζα δὲ πάντων
τῶν μὲν κλειναὶ

ταν σὰν γονάν.
μονὰς ἄρρητος
σπέρμα τὸ πάντων
σπέρμα σε πάντων
ἐσπέρμηνεν.
σὺ γὰρ ἐν πᾶσι,
διὰ σοῦ δὲ φύσις
ὑπάτα μεσάτα
νεάτα τε θεοῦ
ἀπέλαυσε παιδὸς
ἀγαθῶν δώρων
γονίμου ζωᾶς.
σοὶ μὲν ἀγήρως
ἄπονοι τροχιὰν
σφαῖρα κυλίνδει.
ὑπὸ σὰν τάξιν
κύτεος μεγάλου
βριαραῖς δίναις
ἑβδομὰς ἄστρων
ἀντιχορεύει.
τὰ δὲ πολλὰ μίαν
πτύχα καλλύνει
φέγγεα κόσμου
διὰ σὰν βουλὰν
γόνε κύδιστε.
σὺ γὰρ ἀμφιθέων

κύτος οὐράνιον,
δρόμον αἰώνων
ἄλυτον συνεχῆ,
ὑπὸ σοῖς δὲ μάκαρ
ἁγίοις θεσμοῖς
ἐν ἀπειροβάθοις
αἴθερος λαγόσι
πολιῶν ἄστρων
ἀγέλα νέμεται.
σὺ μὲν οὐρανίοις,
σὺ δ' ἐνηερίοις,
σὺ δ' ἐπιχθονίοις,
σὺ δ' ὑποχθονίοις
ἔργα μερίζεις,
ζωάν τε νέμεις.
σὺ νόου πρύτανις
ταμίας τε θεοῖς,
θνατῶν θ' ὁπόσοι
νοερᾶς μοίρας
ἴπασαν ὄμβρεις.
σὺ ψυχοδότας,
οἷς ἐκ ψυχᾶς
τέταται ζωὰ
καὶ φύσις ἀκμής.
ἀλαδὸν ψυχᾶς
βλάστημα τεαῖς

κρέμα-

κρέμαται σφέας.
τὰς σὰς χ' ὠπίσω " πετάσας
στέρεται πνοιᾶς,
ἀπὸ σῶν κόλπων
δρέπεται σιωπὰν
προθυμουμέναν " προθυμουμένων
διὰ σᾶς ἀλκᾶς
ἐξ ἀρρήτων
πατρικῶν κόλπων
κρυφίας μονάδος.
ὅθεν ὁ ζωᾶς
ὀχετὸς προρέων
φέρεται μέχρι γᾶς
διὰ σᾶς ἀλκᾶς,
δι' ἀτεκμάρτων
νοερῶν κόσμων.
ἔνθεν δέχεται
καταβαίνουσαν
ἀγαθῶν κράναν
νοεροῦ μορφὰν
κόσμος ὁρατός.
ἅλιον δ' οὗ
δεύτερον ἔχει,
ὑπερφεγγοῦς
φωτὸς γενέταν
ὄμμα τὸ λαμπρὸν,

τᾶς

τᾶς γιγνομένας
καὶ φθειρομένας
ταμίαν ὕλας.
υἱὸν νοεροῦ,
αἰσθητ. τύπον" αἰσθητὸν
ἀγαθῶν παροχὰν
ἐγκοσμογενῶν
διὰ σὰν βουλὰν
γόνε κύδιστε.
πάτερ ἄγνωστε,
πάτερ ἄρρητε·
ἄγνωστε νόῳ,
ἄρρητε λόγῳ.
νοὸς ἐσσὶ νόου,
ψυχᾶν ψυχά,
φύσις εἶ φυσίων.
γόνυ σοι κάμπτων
ἴδε τοῦτο λάτρις
πίπτω κατὰ γᾶς
ἱκέτας ἀλαός.
σὺ δὲ φωτοδότας
φωτὸς νοεροῦ
ἔξαιρε μάκαρ
ἱκέτιν ψυχάν.
στεῦε δὲ νούσοις,
στεῦε μερίμνας

τὰς ψυχοβόρους.
σεῦε δ᾽ ἀϊδῆ
κύνα τὸν χθόνιον,
δαίμονα γαίας,
ψυχᾶς ἀπ᾽ ἐμᾶς,
εὐχᾶς ἀπ᾽ ἐμᾶς,
ζωᾶς ἀπ᾽ ἐμᾶς,
ἔργων ἀπ᾽ ἐμῶν.
στόματος ἔξω,
πνεύματος ἔξω,
πάντων ἔξω,
τῶν ἁμετέρων
δαίμων μενέτω.
λιπέτω, φυγέτω
δαίμων ὕλας,
παθέων ἀλκὰ,
αἰάγωγον ὁδὸν
διατειχίζων,
τὰς θεοδιφεῖς
βλάπτων ὁρμάς.
ἕταρον δὲ δίδου
ξυνωνὸν ἄναξ
ἁγίας ἅγιον
ἄγγελον ἀλκᾶς,
ἄγγελον εὐχᾶς
τᾶς θεολαμποῦς,

φίλον ἐσθλοδόταν,
φύλακα ψυχᾶς,
φύλακα ζωᾶς,
δὶ χᾶν φρουρὰν,
ἔργων φρουρὰν.
σῶμα δὲ σώζοι
καθαρὸν νούσων.
πνεῦμα δὲ σώζοι
καθαρὸν λώβας:
ψυχᾷ δ' ἐπάγοι
παθέων λάθαν.
ἵνα καὶ ζωὰν
τὰν γαιοτρεφῆ
τοῖς σοῖς ὕμνοις
πιαίνηται·
ταρσεὺς "ταρσὸς ψυχᾶς,
ἵνα καὶ ζωὰν
τὰν μετὰ μοίρας,
τὰν μετὰ δεσμοὺς
τοὺς χθονοβριθεῖς,
καθαρὰν ὕλας
ὁδὸν "ὅσον ἐξαιύω
ἐπὶ σὰς αὐλὰς,
ἐπὶ σοὺς κόλπους·
ὅθεν ἁ ψυχᾶς
προρρέει παγά.

σὺ δὲ χεῖρα δίδου,
σὺ κάλει, σὺ μάκαρ
ὕλας ἄναγε
ἱκέτιν ψυχάν.

ΥΜΝΟΣ Γ.

Ὑμνῶμεν κοῦρον νύμφας,
νύμφας οὐ νυμφευθείσας
αἰδρῶν μοιερίαις κοίταις.
ἄῤῥητοι πατρὸς βουλαὶ
ἔσπει- ″ ἐσπέραν Χριστοῦ γονάν.
ραν ἁ σεμνὰ νύμφας ὠδὶς
αἰθρώπου φῦσεν μορφὰν,
ὃς ἐν θνατοῖς πορθμευτὰς
ἦλθεν φωτὸς παγαίου.
σεῦ ἁ δ᾽ ἄῤῥητος ″ εὐβλάστα
βλάστα αἰώνων οἶδεν ῥίζαν,
αὐτὸς φῶς εἶ παγαῖον,
συλλάμψας ἀκτὶς πατρί.
ῥήξας δ᾽ ὀρφναίαν ὕλαν,
ψυχαῖς ἐλλάμπεις ἁγναῖς.
αὐτὸς μὲν κόσμου κτίστας,
κλεινῶν σφαιρωτὰς ἄστρων,
κέντρων γαίας ῥιζωτὰς·
αὐτὸς δ᾽ αἰθρώπων σωτήρ,

σοὶ μὲν τελεῖ ἱππεύει,
ἠοῦς ἄσβεστος παγά·
σοὶ δ' ἀταυρῶπις μήνα
τὰν νυκτῶν ὄρφναν λύει.
σοὶ καὶ τίκτονται καρποὶ,
σοὶ καὶ βόσκονται ποίμναι.
ἐκ σᾶς ἀρρήτου παγᾶς
ζείδωρον πέμπων αἴγλαν,
πιαίνεις κόσμων ταρσούς.
ἐκ σῶν βλάστησε κόλπων
καὶ φῶς καὶ νοῦς καὶ ψυχά·
τὰν σὰν οἰκτείρειν κούραν
γυίοις εἰρχθεῖσαν θνατοῖς,
θ' μοίρας δ' ὑλαίοις μέτροις.
νούσων ἐκσώζοις λώβας
ἀσκηθῆ γυίων ἀλκάν.
νεῦσον μὲν μύθοις πειθὼ,
νεῦσον δ' ἔργοισι κῦδος,
ἀρχαίοις πρέψαι φάμαις
τᾶς κυράνας καὶ σπάρτας.
λύπαις δ' ἄσειστος ψυχὰ
πραεῖαν ἕλκοι ζωὰν
θρέπτειραν δισσᾶς γλώσσας
ἐς σὸν τείνοισα φέγγος·
ὡς ἐξ ὕλας φοιβαθεὶς
ἀστρέπτοις οἴμοις σπεύσω

φύξηλις

φύξηλις γαίας μόχθων.
μοχθεῦσαι ψυχᾶς παγᾷ
τοίαν ἄχραντον ζωὰν
παρὰ σοῦ κραίνοις φορμικτῇ,
εὖτ' ἂν σοι στέλλων μολπὰν,
τὰν σὰν κυδαίνων ῥίζαν,
μήκιστος παιδὸς κῦδος,
καὶ τὰν σύνθωκον πνοιὰν,
μέσσαν ῥίζας καὶ βλάστας,
καὶ παιδὸς μέλπων ἀλκὰν,
τοῖς σοῖς ὕμνοις ἀμπαύω
κλεινὰν ὠδῖνα ψυχᾶς.
χαίροις ὦ παιδὸς παγά·
χαίροις ὦ παιδὸς μορφά·
χαίροις ὦ παιδὸς κρηπίς·
χαίροις ὦ παιδὸς σφραγίς.
χαίροις ὦ παιδὸς κάρτος.
χαίροις ὦ παιδὸς κάλλος.
χαίροις δ' ἄχραντε πνοιὰ,
κέντρον κούρου καὶ παιδὸς·
τάν μοι πέμποις σὺν παιδὶ,
ἄρδουσαν ψυχᾶς ταρσοὺς,
κράντειραν θείων δώρων.

ΥΜ-

ΥΜΝΟΣ Δ'.

Μετὰ παγᾶς ἁγίας αὐτολοχεύτου
ἀῤῥήτων ἑνοτήτων ἐπέκεινα
θεὸν ἀμβρότου θεοῦ κύδιμον υἷα
μόνον ἐκ μόνου πατρὸς παῖδα θορόντα
στεφανώσωμεν σοφοῖς ἄνθεσιν ὕμνων·
ὃν βουλᾶς πατρικᾶς ἄφραστος ὠδὶς
ἀγνώστων ἀνέδειξε παῖδα κόλπων,
ἃ πατρὸς λογίοις ἔφλυε καρποῖς,
καὶ φήνασα φαίνει μεσοπαγὴς νοῦς.
ἐν παγᾷ δὲ μένουσι καὶ χυθέντες.
σοφία νόει πατρὸς κάλλεος αὐγά,
σοὶ τεχθέντι πατὴρ ἔνδοσε τίκτειν.
σὺ τὸ κρυπτὸν ἐκ πατρὸς σπέρμα προλάμπον.
σὲ γὰρ ἀρχὰν γενέτας ἔδωκε κόσμοις,
κατάγειν ἐκ νοερῶν σώμασι μορφάς.
σὺ μὲν οὐρανοῦ σοφαῖς ἄντυγα νωμᾷς,
τὰν δ' ἄστρων ἀγέλαν ἀεὶ νομεύεις·
σὺ δὲ τᾶς ἀγγελικᾶς ὦναξ χορείας,
καὶ τᾶς δαιμονίας φάλαγγος ἄρχεις.
σὺ δὲ καὶ φύσιν φθιτὰν ἀμφιχορεύεις,
ἀμέριστον περὶ γᾶν πνεῦμα μερίζεις,
καὶ παγᾷ τὸ δοθὲν πάλιν συνάπτεις,
θνατοὺς ἐκ θανάτου λύων ἀνάγκας.

ἱλήκοις ἐπὶ σῶν σέμμασιν ὕμνων,
βιοτᾶς ὑμνοπόλων ἐμῶν γαλάναν·
δείπων περιχοαὶ σῆσον ἀλῆτιν,
τερσαίνων ὀλοὰς κλύδωνας ὕλας·
ψυχᾶς καὶ μελέων ἔρυκε νούσους,
παθέων οὐλομένων κοίμισον ὁρμὰν,
πλούτου καὶ πενίας ἄλαλκε κῆρας,
ἔργοις κυδαλίμαν ὀμφαὶ ὄπασσον,
ἐν λαοῖς ἀγαθὰν ἄνοιγε φάμαν,
περθοῖς περὶ λόγου στέφ' ἀώτῳ,
ἵνα μοι νόος δρέποι χολὰν ἀκύμων,
μήδ' ἐν ταῖς χθονίαις στένω μερίμναις,
ἀλλ' ἐκ σῶν ὀχετῶν ὑψιφορήτων
ὠδῖσιν σοφίας νόον κατάρδω.

ΥΜΝΟΣ Ε′.

Πάλι φέγγος, πάλιν ἀὼς,
πάλιν ἁμέρα προλάμπει
μετὰ νυκτιφοίτων ὄρφναν.
πάλι μοι λίγαινε θυμὲ
θεὸν ὀρθρίοισιν ὕμνοις·
ὃς ἔδωκε φέγγος ἀοῖ,
ὃς ἔδωκεν ἄστρα νυκτὶ,
περικοσμίαν χορείαν.
πολυκύμονος μετὰ ὕλας

ἐκάλυψε νῶτον αἰθὴρ
πυρὸς ἐμβεβὼς ἀώτῳ,
ἵνα κυδίμα σελάνα
πυμάταν ἄντυγα τέμνει·
ὑπὲρ ὀγδόαν δὲ δίναν
ἑλίκων ἀστροφορήτων
ῥόος ἀστέρων ἔρημος,
ὑποκόλπιους ἀγαύνων
ψυχάς " πτύχας αἰπίον θροΐσας,
μέγαν ἀμφὶ νοῦν χορεύει,
ὃς ἄνακτος ἄκρα κόσμου
ἔρεψε πολιοῖς " ἔζεψε ταρσοῖς.
τὰ πρόσω μάκαιρα σίγα
νοερῶν τε καὶ νοητῶν
ἄτομον τομὰν καλύπτει.
μία παγὰ, μία ῥίζα·
τριφαὴς ἔλαμψε μορφά.
ἵνα γὰρ βυθὸς πατρῷος,
τόθι καὶ κύδιμος υἱὸς,
κραδιαῖον τι λόχευμα,
σοφία κοσμοτεχνῆτις,
ἑνοτήσιόν τε φέγγος
ἁγίας ἔλαμψε πνοιᾶς.
μία παγὰ, μία ῥίζα
ἀγαθῶν αἳ ἔχει ὄλβον,
ὑπερούσιόν τε βλάσταν

γονίμοις ζέουσαν ὁρμαῖς,
τά τ' ἐνουσίων περιλάμπει
μακάρων ἀγητὰ φέγγη.
ὅθεν ἐγκόσμιος ἤδη
χορὸς ἀφθίτων ἀνάκτων
γενετήριόν τε κῦδος,
τότε προπάτορον εἶδος
νοεροῖς ἔμελψεν ὕμνοις
πέλας ἀμβρότων σκηνῶν.
στράτος ἀγγέλων ἀγήρως
τὰ μὲν ἐς νόον δεδορκὼς
δρέπεται κάλλεος ἀλκάν·
τὰ δ' ἐς αὔτυγας δεδορκὼς
διέπει βένθεα κόσμου,
τὸν ὕπερθε κόσμον ἕλκων
νεάτας καὶ μέχρις ὕλας,
ἵνα δαιμόνων ὅμιλον
φύσις ἰζάνοισα τίκτει
πολύθρουν καὶ πολυμήταν.
ὅθεν ἥρως, ὅθεν ἤδη
περὶ γᾶν ἀπαρεῦσα πνοιὰ
χθονὸς ἐζώωσε μοίρας
πολυδαιδάλοισι μορφαῖς.
τὰ δὲ πάντα σεῖο βουλᾶς
ἔχεται. σὺ δ' ἐσσὶ ῥίζα
παρεόντων, προτ' ἐόντων

μετιόν·

μετεόντων ἐνεόντων.
σὺ πατήρ, σὺ δ᾽ ἐσσὶ μάτηρ·
σὺ δ᾽ ἄρρην, σὺ δὲ θῆλυς·
σὺ δὲ φωνά, σὺ δὲ σιγά·
φύσεως φύσις γονῶσα·
σὺ δ᾽ ἄναξ αἰῶνες αἰὼν·
τὸ μὲν εἰ θέμις βοῆσαι.
μέγα χαῖρε ῥίζα κόσμου,
μέγα χαῖρε κέντρον ὄντων,
μονὰς ἀμβρότων ἀριθμῶν,
προανουσίων ἀνάκτων.
μέγα χαίροις, μέγα χαίροις·
ὅτι πὰρ θεῷ τὸ χαίρειν.
ἐπ᾽ ἐμοῖς ἵλαον οὖας
τάνυσον χορεῖσιν ὕμνων,
σοφίας ἄνοιγε φέγγος,
κατάχει κύδιμον ὄλβον,
κατάχει χάριν λιπῶσαν
βιοτᾶς γαληνιώσας,
πενίαν ἐκτὸς ἐλαύνων,
χθονίαν τε κῆρα πλούτου.
μελέων ἔρυκε νούσους.
παθέων δ᾽ ἄκοσμον ὁρμὰν,
φρενοκηδεῖς τε μερίμνας
ἀπό μοι ζωᾶς ἐρύκοις.
ἵνα μὴ τὸ νοῦ πτέρωμα

ἐπιβείσῃ χθονὸς ἄτᾳ,
αἴετον δὲ ταρσὸν ἀέρων
περὶ σᾶς ὄργια βλάστας
τὰ πανάρρητα χορεύσω.

ΥΜΝΟΣ ς'.

Πρῶτος νόμον εὑρόμαν,
ἐπὶ σοὶ μάκαρ ἄμβροτε,
γόνε κύδιμε παρθένου,
Ἰησοῦ σολυμῆιε,
νεοπηγέσιν ἁρμογαῖς
κρέξαι κιθάρας μίτους.
ἀλλ' εὐμενέοις ἄναξ,
καὶ δέχνυσο μουσικὰν
ἐξ εὐαγέων μελῶν.
ὑμνήσωμεν ἄφθιτον
θεὸν υἷα θεοῦ μέγαν,
αἰωνοτόκου πατρὸς,
τὸν κοσμογόνον κόρον,
τὰν παντομιγῆ φύσιν,
σοφίαν ἀπειρέσιον·
τὸν ἐπουρανίοις θεὸν,
τὸν ὑποχθονίοις νέκυν.
ἐχύθης ὅτ' ἐπὶ χθονὶ
βροτέας ἀπὸ νηδύος,

μάγος ἁ πολύφρων τέχνα
ἐξ ἀστέρος αἴγλας
θάμβησεν ἀμήχανος.
τί τὸ τικτόμενον βρέφος;
τίς ὁ κρυπτόμενος θεός;
θεὸς ἢ νέκυς, ἢ βασιλεύς.
ἄγε δῶρα κομίζετε·
σμύρνης ἐναγίσματα,
χρυσοῦ τ' ἀναθήματα,
λιβάνου τε θύη καλά.
θεὸς εἶ· λίβανον δέχου.
χρυσὸν βασιλεῖ φέρω.
σμύρνη τάφος ἁρμόσει.
καὶ γᾶν ἐκάθηρας,
καὶ πόντια κύματα,
καὶ δαιμονίας ὁδούς,
ῥαδιναὶ χύσιν ἀέρος,
καὶ νερτερίους μυχούς,
φθιμένοισι βοηθόος
θεὸς εἰς ἀΐδαν σταλείς.
ἀλλ' εὐμενέοις ἄναξ,
καὶ δέχευσο μουσικὰν
ἐξ εὐαγέων μελῶν.

ΥΜΝΟΣ Ζ'.

Ὑπὸ Δώριον ἁρμογὰν
ἐλεφαντοδέταν μίταν
στάσω λιγυρὰν ὄπα
ἐπὶ σοὶ μάκαρ ἄμβροτε,
γόνε κύδιμε παρθένου.
σὺ δέ μου βιοτὰν σάου
πανατήμονα κοίρανε,
λύπαις ἄβατον διδούς.
καὶ νύκτα καὶ ἀμέραν
λάμποις πραπίσι σέλας
νοερᾶς ἀπὸ παγᾶς.
σθένος ἀρτεμέων μελῶν,
καὶ κῦδος ἐπ᾽ ἔργμασιν
νεότατι νέμοις ἐμᾷ.
λιπαρὸν δὲ φέροις ἔτος
ἐς γήραος ἡδονὰν,
ἐρίτιμον ἀέξων
πινυτὰν σὺν ὑγιείᾳ.
γνωτὸν δὲ φυλάσσοις·
τόν μοι νέον ἄφθιτε
ἤδη χθονίαν πύλαν
παραμειβόμενον ποδὶ
ἄψορρον ἀνήγαγες,
ἐμὰ κήδεα καὶ γόους,

ἐμὰ δάκρυα καὶ φρενῶν
σβέσας αἰθομέναν φλόγα.
ἐβίωσας καὶ νέκυν
διὰ σὸν πάτερ ἱκέταν.
γνωτάν τε συνευνέτιδα
τεκέων φυλάσσοις.
ὅλον ἡσυχίαν δόμον
ὑπὸ σᾷ χερὶ κρύπτοις.
καί μοι ζυγίων ἄναξ
ξυνήονα δεμνίων
ἀπόνουσον ἀπήμονα
ἐείρεων ὁμόφρονα
κρυφίων ἀδαήμονα
ὀάρων ἄλοχον σάου.
ὅσιον δ' ἐφέποι λέχος
πανακήρατον εὐαγὲς,
ἀδίκοις ἄβατον πόθοις.
ψυχὰν δὲ λυθεῖσαν
χθονίου βιότου πέδας
ἐξαίνυσο πημάτων
καὶ λευγαλέας ἄτας.
σὺν δ' εὐαγέων χορεῖς
ὕμνους ἀνάγειν δίδου
ἐπὶ κύδεϊ σου πατρὸς,
καὶ κάρτεϊ σῷ μάκαρ.
πάλιν ὑμνοπολεύσω.

πάλιν σοι μέλος ἄσω.
τάχα καὶ κιθάραν πάλιν
ἀκήρατον ἁρμόσω.

ΥΜΝΟΣ Η'.

Πολυήρατε κύδιμε
σὲ μάκαρ γόνε παρθένου
πολυ- μηΐδος ὑμνῶ" πολυμηΐδος·
ὃς τὰν δολίαν παγὰν,
χθόνιον μεγάλων ὄφιν
πατρὸς ἤλασας ὀρχάτων,
καταβὰς μέχρι καὶ χθονὸς
ἐπίδημος ἐφαμέροις.
κατέβας δ' ὑπὸ τάρταρα,
ψυχῶν ὄθι μυρία
θάνατος νέμεν ἔθνεα.
φρίξεν σε γέρων τότε
ἀΐδας ὁ παλαιγενής·
καὶ λαοβόρος κύων
ἀνεχάσατο βηλοῦ.
λύσας δ' ἀπὸ πημάτων
ψυχῶν ὁσίους χορούς,
θιάσοισιν ἀκηράτοις
ὕμνους ἀνάγεις πατρί.
ἀνιόντα σε κοίρανε

τὰ

τὰ κατ' ἠέρος ἄπειρα
τρέσεν ἔθνεα δαιμόνων.
θάμβησε δ' ἀκηράτων
χορὸς ἄμβροτος ἀστέρων·
αἰθὴρ δὲ γελάσας,
σοφὸς ἁρμονίας πατὴρ,
ἐξ ἑπτατόνου λύρας
ἐκεράσσατο μουσικὰν
ἐπινίκιον ἐς μέλος.
μείδησεν ἑωσφόρος,
ὁ διάκτορος ἁμέρας·
καὶ χρύσεος ἕσπερος,
κυθερήϊος ἀστήρ.
ἁ μὲν κερόεν σέλας
πλήσασα ῥόου πυρὸς
ἀγεῖτο σελάνα
ποιμὰν νυχίων θεῶν·
τὰν δ' εὐρυφαῆ κόμαν
πιτνὰν ἐπετάσσατο
ἄρρητον ὑπ' ἴχνιον.
ἔγνω δὲ γόνον θεοῦ,
τὸν ἀριστοτέχναν νόον,
ἰδίου πυρὸς ἀρχάν.
σὺ δὲ ταρσὸν ἐλάσας
κυαναύγεος οὐρανοῦ
ὑπερήλατο νώτων.

σφαίρῃσι δ' ἐπετάθης
νοεραῖσιν ἀκηράτοις·
ἀγαθῶν ὅθι παγά,
σιγώμενος οὐρανός·
ἔνθ' οὔτε βαθύρροος
ἀκαμαντοπόδας χρόνος
χθονὸς ἔκγονα σύρων,
οὐ κῆρες ἀναιδέες
βαθυκύμονος ὕλας·
ἀλλ' αὐτὸς ἀγήραος
αἰὼν ὁ παλαιγενὴς
νέος ὢν ἅμα καὶ γέρων
ἀεννάω τᾶς″ ἐννάω μονᾶς
ταμίας πέλεται θεοῖς.

ΥΜΝΟΣ Θ'.

Ἄγε μοι λίγεια φόρμιγξ
μετὰ τηΐαν ἀοιδάν,
μετὰ λεσβίαν τε μολπάν
γεραρωτέροις ἐφ' ὕμνοις
κελάδει δώριον ᾠδάν·
ἁπαλαῖς οὐκ ἐπὶ νύμφαις
ἀφροδίσιον γελώσαις,
θαλερῶν οὐδ' ἐπὶ κούρων
πολυηράτοισιν ἥβαις.

θεοκύμονος γὰρ ἁγνὰ
σοφίας ἄρξαντος ὠδῆς
μέλος ἐς θεῖον ἐπείγει
κιθάρας μίτοις ἐρέσσειν·
μελιχρὰν δ᾽ ἄνωγεν ἄταν
χθονίων φυγεῖν ἐρώτων.
τί γὰρ ἀλκά, τί δὲ κάλλος,
τί δὲ χρυσὸς, τί δὲ φᾶμαι
βασιλήϊοί τε τιμαὶ
παρὰ τὰς θεοῦ μερίμνας;
ὁ μὲν ἵππον εὖ διώκοι·
ὁ δὲ τόξον εὖ τιταίνοι·
ὁ δὲ θημῶνα φυλάσσοι
κτεάνων, χρύσεον ὄλβον.
χαίτη ἑτέρῳ δ᾽ ἄγαλμα " χαίροι
καταειμένη τενόντων·
πολύυμνος δέ τις εἴη
παρὰ κούροις, παρὰ κούραις
ἀμαρύγμασι προσώπων.
ἐμὲ δ᾽ ἀψόφητον εἴη
βιοτὰν ἄσημον ἕλκειν·
τὰ μὲν ἐς ἄλλους ἄσημον,
τὰ δὲ πρὸς θεὸν εἰδότα.
σοφία δέ μοι παρείη,
ἀγαθὰ μὲν νεότατα,
ἀγαθὰ δὲ γῆρας ἕλκειν,

ἀγα-

ἀγαθὰ δ᾽ ἄϊστα πλούτου.
πενίαν δ᾽ ἄμοχθος οἶσθ᾽
σοφία, γελῶσα πικραῖς
ἀβάτου '' ἄβατον βίου μερίμναις.
μόνον εἰς τόσον παρείη,
ὅσον ἄρκιον καλιῆς
ἀπὸ γειτόνων ἐρύκειν·
ἵνα μὴ χρεώ με κάμπτοι
ἐπὶ φροντίδας μελαίνας.
κλῦε καὶ τέττιγος ὠδὰν
δρόσον ὀρθρίαν πιόντος.
ἴδε μοι βοῶσι νευραὶ
ἀκέλευστα, καί τις ὀμφὴ
περί τ᾽ ἀμφί με ποτᾶται.
τί ποτ᾽ ἄρα τέξεταί μοι
μέλος ἁ θέσκελος ὠδίς.
ὁ μὲν αὐτόσυτος ἀρχὰ
ταμίας πατήρ τε ὄντων
ἀλόχευτος ὑψιθώκων
ὑπὲρ οὐρανοῦ καρήνων
ἀλύτῳ κύδεϊ γαίων
θεὸς ἔμπεδος θαάσσει,
ἑνοτήτων ἑνὰς ἁγνὴ,
μονάδων μονάς τε πρώτη,
ἁπλότητας ἀκροτήτων
ἑνώσασα καὶ τεκοῦσα

ὑπερ-

ὑπερουσίοις λοχείαις.
ὅθεν αὐτὴ προθοροῦσα
διὰ πρωτόσπορον εἶδος
μονὰς ἄῤῥητα χυθεῖσα
τρικό-ρυμβον '' ζικόρυβον ἔσχεν ἀλκάν.
ὑπερούσιος δὲ παγὰ
στέφεται κάλλεϊ παίδων
ἀπὸ κέντρου τε θορόντων
περὶ κέντρον τε ῥυέντων.
μένε μοι θρασεῖα φόρμιγξ·
μένε μηδὲ φαῖνε δήμοις
ἀνοργιάστοις τελετὰς '' ἀνοργιάστους.
ἴθι ὅτι καὶ τὰ νέρθε φώνει.
τὰ δ' ἄνω σιγὰ καλύπτει.
ὁ δὲ νοῦς οἴοισιν ἤδη
κόσμον μέλεται νόοισι '' κόσμοις.
ἀγαθὸν γὰρ ἔνθεν ἤδη
βροτέου πνεύματος ἀρχὰ
ἀμερίστως ἐμερίσθη,
ὁ καταβάτας ἐς ὕλαν
νόος ἄφθιτος κείνων,
θεοκράνων '' θεοκοιράνων ἀποῤῥὼξ
ὀλίγα μὲν ἀλλ' ἐκείνων
ὅλος οὗτος εἷς τε πάντη.
ὅλος εἰς ὅλον δεδυκὼς
κύτος οὐρανῶν ἑλίσσει.

τὸ

τὸ δ᾽ ὅλον τοῦτο φυλάσσων
νενεμημένοισι μορφαῖς
μεμερισμένως παρέστι·
ὁ μὲν ἀστέρων διφρείαις·
ὁ δ᾽ ἐς ἀγγέλων χορείας·
ὁ δὲ καὶ ῥέποντι δεσμῷ
χθονίαν εὕρετο μορφάν·
ἀπὸ δ᾽ ἐστάθη τοκήων.
δνοφερὰν ἤρυσε λάθαν,
ἀλαωπῖσι μερίμναις,
χθόνα θαυμάσας ἀτερπῆ
θεὸς ἐς θνητὰ δεδορκάς.
ἔνι μάν, ἔνι τι φέγγος
κεκαλυμμέναισι γλήναις.
ἔνι καὶ δεῦρο πεσόντων
ἀναγώγιός τις ἀλκά.
ὅτε κυμάτων φυγόντες
βιοτησίων ἀκηδεῖς
ἁγίας ἔστειλαν οἴμους
πρὸς ἀνάκτορον τοκῆος.
μάκαρ ὅς τις βορὸν ὕλας
προφυγὼν ὕλαγμα, καὶ γᾶς
ἀναδὺς ἅλματι κούφῳ
ἴχνος ἐς θεὸν τιταίνει·
μάκαρ ὅς τις μετὰ μοίρας,
μετὰ μόχθους, μετὰ πικρὰς

χθονογη-

χθονογηθεῖς μελεδῶνας
ἐπιβὰς νόου κελεύθων
βυθὸν εἴσιδε θεολαμπῆ.
μόνον "πόνος εἰς ὅλαν τανύσαι
κραδίαν ὅλοισι ταρσοῖς
αἰαγωγίων ἐρώτων.
μόνον ἐμπέδωσον ὁρμὰν
νοερηφόροισιν ὁρμαῖς·
ὁ δέ τοι πέλας φανεῖται
γενέτας χεῖρας ὀρεγνύς.
προθέουσα γάρ τις ἀκτὶς
καταλάμψει μὲν ἀταρποὺς,
πετάσει δέ τοι νοητὸν
πεδίον· κάλλεος ἀρχάν.
ἄγε μοι ψυχὰ πιοῖσα
ἀγαθοῤῥύτοιο παγᾶς,
ἱκετεύσασα τοκῆα,
ἀνάβαινε, μηδὲ μέλλε,
χθονὶ τὰ χθονὸς λιποῖσα.
τάχα δ' αὖ μιγεῖσα πατρὶ
θεὸς ἐν θεῷ χορεύσεις.

ΥΜΝΟΣ Ι'.

Μνώεο Χριστὲ,
υἱὲ θεοῖο

ὑψιμέδοντος,
ἱκέτευω σέο
κῆρ ἀλιτροῖο,
γράψαντος τάδε·
καί μοι ὄπασσον
λύσιν παθέων
κηριτρεφέων,
τά μοι ἐμφύει
ψυχᾷ ῥυπαρά.
δὸς δὲ ἰδέσθαι,
σῶτερ Ιησοῦ,
ζαθέαν αἴγλαν
σάν. ἔνθα φανεὶς,
μέλψω ἀοιδὰν
ψυχᾶν παίονι,
παίονι γυίων,
πατρὶ σὺν μεγάλῳ,
πνεύματί θ᾽ ἁγνῷ.

ΚΛΗΜΕΝΤΟΣ

ΥΜΝΟΣ.

Στόμιον πώλων ἀδαῶν,
πτερὸν ὀρνίθων ἀπλανῶν,
νηῶν οἴαξ" νηπίων ἀτρεκής,
ποιμὴν ἀρνῶν βασιλικῶν,
τοὺς σοὺς ἀφελεῖς
παῖδας ἄγειρον
αἰνεῖν ἁγίως,
ὑμνεῖν ἀδόλως,
ἀκάκοις στόμασιν
παίδων ἡγήτορα Χριστόν.
βασιλεῦ ἁγίων,
λόγε πανδαμάτωρ
πατρὸς ὑψίστου,
σοφίας πρύτανι,
στήριγμα πόνων
αἰωνοχαρές,
βροτέας γενεᾶς
σῶτερ Ἰησοῦ,
ποιμήν, ἀροτήρ,
οἴαξ, στόμιον,
πτερὸν οὐράνιον
παναγοῦς ποίμνης,

ἁλιεῦ μερόπων
τῶν σωζομένων,
πελάγους κακίας
ἰχθῦς ἁγνοὺς
κύματος ἐχθροῦ
γλυκερῇ ζωῇ δελεάζων·
ἡγοῦ προβάτων
λογικῶν ποιμήν·
ἅγιε ἡγοῦ
βασιλεῦ παίδων ἀνεπάφων·
ἴχνια Χριστοῦ,
ὁδὸς οὐρανία,
λόγος ἀέναος,
αἰὼν ἄπλετος·
φῶς ἀΐδιον,
ἐλέους πηγή·
ῥεκτὴρ ἀρετῆς
σεμνῇ βιοτῇ
θεὸν ὑμνούντων Χριστὲ Ἰησοῦ·
γάλα οὐράνιον
μαστῶν γλυκερῶν
νύμφης χαρίτων
σοφίας τῆς σῆς ἐκθλιβόμενον·
οἱ νηπίαχοι
ἀταλοῖς στόμασιν
ἀτιταλλόμενοι,

θηλῆς λογικῆς
πνεύματι δροσερῷ
ἐμπιπλάμενοι,
αἴνους ἀφελεῖς
ὕμνους ἀτρεκεῖς
βασιλεῖ Χριστῷ,
μισθοὺς ὁσίους
ζωῆς διδαχῆς,
μέλπωμεν ὁμοῦ·
μέλπωμεν ἁπλῶς
παῖδα κρατερόν.
χορὸς εἰρήνης
οἱ χριστογόνοι
λαὸς σώφρον
ψάλλωμεν ξυνῇ θεὸν εἰρήνης.

Aliæ quædam variæ lectiones & coniecturæ.

Pag.4.verſ.23.ὀπάζοι.ἴσ.ὀπάζῃ. 36.4.ἴδ.ἴσ. ἴῃ.42.9.φυλάσσῃ.γρ.φυλάσσοι.43.17.ὑπὲρ δ' ἐδον γρ.ὑπερέδων.47.3.ἰόντι. γρ.ἰόντος.48.13.ὀκταετῆ.γρ.ὀκταέτης.68.23.συγκρατεῖται.ἴσ.συγκρατῆται. 80.16.περιεσίας. ἴσ. περιεστήσας.ibid.24. πεπηγμένῳ. 83. 10.ἐντελέστερον. ἴσ.ἀντελέστερον.103.18.ἀποκρύβη.* ἴσ.ταῖς πνοαῖς ἀποκρυβόν. 109. 5.σέβειν. ἴσ.σέβῃ. 179.9.πτύχας ἴσ. πτυχάς.184.2.γρ.ἐξέφαντο δ' ἐτῶν μέτρων λύρας, ςάστω &c.186.6.πολυμνίδος.ἐν ἄλλοις γρ.Σολυμνίδος.& ita videtur legendum. 190.4. ἴσως.ἄβατον βίον.

BIBLIOTECA NAZ. VITTORIO EMAN. ROMA

ERRATA ITA CORRIGES.

Prior numerus paginam, poſterior verſum indicat.

Pag.1. verſ.1. Τοῦ αὐτοῦ ἁγίου Γρηγορίου. 4.9. ἀτασθαλ. 5. 24. ἀπ' οὐρανίων. 19. 25. in marg. dele. χ. ἤτοι σέλιπ. 54. vlt. νύκτες. 35. 18. Ἄζομαι ἐξαπί. 41. 9. Πλούτῳ καὶ δόξῃ. 45.20. θεολαζείης. 49.1. Σὲ τὸν ἄφθιτον. ibid.24. Περινοούμενον. 50.22. ὅταν ἤθη. 55.2. ὀνείρειον. ibid.9. κακοῖς. 61.1. φθάσῃ. ibid.9. ἡ τιμιωτάτῳ. ibid.24. πολλαί. 63.20. Πρὸς τὴν. 64.14. συνένδυσις. 65.16. τὴν γῆν ὥσπερ. ibid. 23. πρὸς σὲ σιγμή. ibid.24. μηχανουργέ 66.15. τὸ σεραφίμ. ibid.17. & 18. δυσί. 67.9. πρὸς τό. 71.3. Ἐκρεῖ. 73.13. ἐζοφοῦντο. ibid.22. ποιοῦντας ἤ. 76. 19. Καὶ διά. 77. 9. κενουμένης. 78.9. ἐπλοημένων. ibid.14. νύττε. & 21. οἶδα. ibid.24 Σειραῖς. 79.24. διψῶσαν. ibid.25. ἀυθέπως. 80 9. Στερροῖς. ibid.21. χλιδῶν. 82.11. ὑποστρέφοι. 84. 12. ὥσπερ οἱ τρόπιν. 85.3. ὁ τὴν. ibid. 15. σύμπηξιν ὀστώδη. 87.19. ὀμμάτων. 97.19. ἐζήλωσαν. 100.15. ὦ νοῦς ἀμυδρὸς, ὦ. 103.6. ῥήξῃ τε. 105.23. ἁπλοῖ. 112.19. τὴν σπηλικήν. 115.21

λείτουρ-

λειτουργίαν. 119. 17. ὑγρῶ. ibid. 20. ποδῶν. 120
8. λοβευμένης. 142. 18. σορᾷ. 150. 1. ἐφέπῃ. ibid.
2. διέπῃ. ibid. 3. διέπῃ. ibid. 23. θρήκης. 176.
7. μήκιστον. ibid. 17. κάρτος. 180. 10. στρατός.
191. 14. καλύπτοι. ibid. 21. ἄφθιτος τοκήων.
192. 4. 5. 6. ὁ μὲν. ὁ δ' ἐς. ὁ δέ.

Cetera errata leuiora, vt ſpirituum, interpunctionis, & alia id genus facile ipſe prudens lector animaduertes.

+

poema hic descriptum Cyrillo attribuitur
Sibidae in to. 8. bibliothecae ss. patrum. 2ae editionis
Parisiensis. cuius meminit Nicephorus.